





SCRIPTO
RES ALIQVOT GNOMI
ci, ijs, qui Græcarum literarum can
didati ſunt, utiliſſimi, quorum
opuſcula huic libro in-
ſerta proxima pa
gina refe
runtur.

IN INCLYTA BASILEA.

15.42.

IOANNES FROBENIVS LECTORI S.



PAucis ab hinc, ſi memini, annis, Græcanicæ linguæ uelut primitias quaſdam tibi conſecrauimus amiciſſime lector, quo citra etiam præceptoris operã, utriuſque muſæ ſacris initiatus, ad percipiendas optimas quaſq; diſciplinas expeditior reddereris. Dedimus enim, quod ad ſolutum ſcripti genus attinet, fabulas Aeſopi Phrygis, quas quidem & utiliſſimas eſſe, & ab his ueteres auſpicari poſt prima rudimenta ſolitos, omnium iudicio conſtat. Quibus poëmatia quædam ſubijcere placuit, neq; id temere. Arbitrati non parum ad rem facere, utriuſq; orationis tam proſæ q̃ uerſæ uirtutes ex alterius collatione cognoſcere, ut hac uidelicet ſimplicem illam & communem linguam, illa uero linguarum proprietates, quas Græci διαλέκτους uocant, percipias. Quod quicquid eſt noſtræ induſtriæ cum utcũq; à te acceptum uideam, non grauati ſumptus & maiora impartiri, cum tibi etiam prouectiori ſit maioribus opus, & detracta latina illa interpretatione opus retexuimus, adiectis itidem non ſpernendis ſcriptoribus. Quod quidem cum ſententias ferè & apophthegmata complectatur γνωμολογίαν appellare licebit, Cuius autores, ſi

res, si quis forte desideret, non erit alienum à nostro instituto uelut digito indicare. Inter poëtas, ut stili facilitate, & dictionis elegātia sententiarū/ qꝫ grauitate, Hesiodus (ut interim de Homero taceam) primas sibi facile uendicat, ita illi primum locum dedimus. De quo tacere satius esse putem, quàm pauca dicere. Quāquam de eius Aspide an sit genuinum opusculum cōtrouersum esse inter doctos uideo. Quibusdam placet nō Hesiodi, sed alterius cuiusdam esse, qui Homerici Achillis clypeum sit imitatus. Tametsi Apollonius Rhodius ex phrasi ipsa & filo orationis Germanum Hesiodi poëma asseuerat, cui opinioni suffragatur & Stesichorus. Nos cuius sit in medium relinquimus, certe Hesiodo annexuimus. Contiguus illi est Theognis poëta Megarensis, qui quidem antiquitatis autoritate non uideo cui cedat, breuitate conspicuus, sententijs insignis, elegantia præcipuus. Quid parænecticis illis elegijs felicius? Quid in condendo poëmate diuinius? siquidem extarent quæ ad octingenta & duo milia eius carmina desiderātūr. Huius ætate Phocylides floruit à nobis in hunc ordinem cooptatus, inter antiquos ethographos uterque ab Isocrate ascitus. Quod reliquum est tute iudicato, Nos tibi hoc Enchiridion, ut sit quod sinu gestes, cōcinnauimus, tu felicibus musis, tuóqꝫ marte nixus ad

altiora

altiora contende, meliora interim polliciti, daturi‑que aliquando, si quod cœpisti, nostræ respon‑deas tuo fauore, industriæ. Vale.

BASILEAE EX AEDIBVS

NOSTRIS CALENDIS

FEBRVA‑

RIIS,

ANNO. M. D. XXI.



Ἐκ τῶν ἀφθονίου σοφιστοῦ προγυμνασμάτων.

Ὁ μῦθος ποιητῶν μὲν προῆλθε, γεγένηται δὲ καὶ ῥητόρων κοινὸς ἐκ παραινέσεως. ἔστι δὲ μῦθος λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν. καλεῖται δὲ συβαριτικὸς, καὶ κίλιξ, καὶ κύπριος πρὸς τοὺς εὑρόντας μεταθεὶς τὰ ὀνόματα. νικᾷ δὲ μᾶλλον αἰσώπειος λέγεσθαι, διὰ τὸ ἦν αἴσωπον ἄριστα πάντων συγγράψαι τοὺς μύθους. τοῦ δὲ μύθου τὸ μὲν ἐστὶ λογικὸν, τὸ δὲ ἠθικόν. τὸ δὲ, μικτόν. καὶ λογικὸν μὲν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πέπλασαι. ἠθικὸν ἡ τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενον. μικτὸν δὲ τὸ ἐξ ἀμφοτέρων ἀλόγου, καὶ λογικοῦ. τὴν δὲ παραίνεσιν δι᾽ ἣν ὁ μῦθος τέτακται, προτάττων μὲν, ὀνομάσας προμύθιον, ἐπιμύθιον δὲ ἢ τελευταῖον ἐπενεγκών.

Μῦθος ὁ τῶν μυρμήκων, καὶ τῶν τεττίγων προτρέπων τοὺς νέους εἰς πόνους.

Θέρους ἦν ἀκμή. καὶ οἱ μὲν τέττιγες, μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει, καὶ συλλέγειν καρπούς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι. χειμῶνος δὲ ἐπιγεγονότος, μύρμηκες μὲν οἷς ἐπόνουν ἐτρέφοντο, τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν. οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα, παρὰ τὸ γῆρας κακοπραγεῖ.

Ἐκ τῶν Φιλοστράτου εἰκόνων.

ΜΙΘΟΙ.

Φοιτῶσιν οἱ μῦθοι παρὰ τὸν Αἴσωπον, ἀγαπῶντες αὐτὸν, ὅτι αὐτῶν ἐπιμελεῖται. ἐμέλησε μὲν γὰρ καὶ Ὁμήρῳ μύθου, καὶ Ἡσιόδῳ. ἔτι δὲ καὶ Ἀρχιλόχῳ πρὸς Λυκάμβην. ἀλλ' Αἰσώπῳ πάντα τὰ τῶν ἀνθρώπων ἐκμεμύθωται. καὶ λόγου τοῖς θηρίοις μεταδέδωκε, λόγου ἕνεκα. πλεονεξίαν τε γὰρ ἐπικόπτει, καὶ ὕβριν ἐλαύνει, καὶ ἀπάτην. καὶ ταῦτα λέων τις αὐτῷ ὑποκρίνεται. καὶ ἀλώπηξ, καὶ ἵππος νὴ Δία, καὶ οὐδὲ ἡ χελώνη ἄφωνος. ὑφ' ὧν τὰ παιδία μαθηταὶ γίνονται τῶν τοῦ βίου πραγμάτων. εὐδοκιμοῦντες οὖν οἱ μῦθοι διὰ τὸν Αἴσωπον, φοιτῶσιν ἐπὶ τὰς θύρας τοῦ σοφοῦ, ταινίας αὐτὸν ἀναδήσοντες, καὶ στεφανώσοντες αὐτὸν θαλλοῦ στεφάνῳ. ὁ δὲ οἶμαί τινα ὑφαίνει μῦθον. τὸ γὰρ μειδίαμα τοῦ προσώπου, καὶ οἱ ὀφθαλμοὶ, κατὰ τῆς γῆς ἑστῶτες. τοῦτο δηλοῦσιν. οἶδεν ὁ ζωγράφος, ὅτι αἱ τῶν μύθων φροντίδες, ἀνειμένης τῆς ψυχῆς δέονται. φιλοσοφεῖ δὲ ἡ γραφὴ καὶ τὰ τῶν μύθων σώματα. θηρία γὰρ συμβάλλουσα ἀνθρώποις, περιΐστησι χορὸν τῷ Αἰσώπῳ, ἀπὸ τῆς ἐκείνου σκηνῆς συμπλάσασα. κορυφαία δὲ τοῦ χοροῦ ἡ ἀλώπηξ γέγραπται. χρῆται γὰρ αὐτῇ ὁ Αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ κωμῳδία τῷ Δάῳ.

τέλος.

ΑΙΣΩΠΟΥ, ΤΟΥ ΜΥΘΟΠΟΙΟΥ, ΜΑΞΙΜΩι ΤΩι ΠΛΑΝΟΥΔΗι ΣΥΓΓΡΑΦΕΙΣ.



Πραγμάτων φύσιν τῶν ἐν ἀνθρώποις ἠκρίβωσαν μὲν καὶ ἄλλοι, καὶ τοῖς μετ' αὐτοὺς παρέδωκαν φέροντες. αἴσωπος δὲ δοκεῖ μὴ πόρρω θειοτέρας ἐπιπνοίας τῆς ἠθικῆς διδασκαλίας ἁψάμενος, πολλῷ τῷ μέτρῳ τοὺς πολλοὺς αὐτῶν παρελάσαι. καὶ γὰρ οὔτ' ἀποφαινόμενος, οὔτε συλλογιζόμενος, οὔτε μὴν δὲ ἱστορίας, ἣν ὁ πρὸ τῆς κατ' αὐτὸν ἡλικίας ἤνεγκε χρόνος, τὴν νουθεσίαν διατιθέμενος, ἀλλὰ μύθοις τὰ πάντα παιδοτριβῶν, οὕτω τὰς τῶν ἀκροωμένων αἱρεῖται ψυχὰς, ὡς αἰσχύνεσθαι τοὺς λογικοὺς ποιεῖν, ἢ φρονεῖν ἃ μήτ' ὄρνιθες μήτ' ἀλώπεκες. καὶ αὖ πάλιν μὴ προσέχειν ἐκείνοις, οἷς πολλὰ τῶν ἀλόγων ἐν καιρῷ συνεχῶς προσεσχηκότα μυθεύεται. δι' ὧν μὲν κινδύνους ἐπηρμένους αὐτοῖς διέδρα, ἃ δὲ μεγίστης ἐν τοῖς καιρίοις ὠφελείας ἔτυχεν. οὗτος τοίνυν ὁ τὸν καθ' αὑτὸν βίον φιλοσόφου πολιτείας εἰκόνα προθέμενος, καὶ ἔργοις μᾶλλον ἢ λόγοις φιλοσοφήσας, τὸ μὲν γένος ἐξ ἀμορίου τῆς φρυγίας κατῆγε τῆς μεγάλης ἐπίκλησιν. τὴν δὲ τύχην γέγονε δοῦλος. ἐφ' ᾧ καὶ σφόδρα μοι δοκεῖ, τὸ τοῦ πλάτωνος ἐν γοργίᾳ καλῶς ἅμα καὶ ἀληθῶς εἰρῆσθαι. ὡς τὰ πολλὰ γὰρ ταῦτα φησὶν ἐναντία ἀλλήλοις ἐστὶν, ἥ, τε φύσις, καὶ ὁ νόμος. αἰσώπου γὰρ τὴν ψυχὴν, ἡ μὲν φύσις ἐλευθέραν ἀπέδωκεν. ὁ δὲ παρ' ἀνθρώπων νόμος τὸ σῶμα πρὸς δουλείαν ἀπέδοτο. ἴσχυσε μέντοι οὐδ' οὕτω τὴν τῆς ψυχῆς ἐλευθερίαν λυμήνασθαι. ἀλλὰ καί-

τι, πρὸς πολλὰ καὶ πολλαχόσε μεταφέρων τὸ σῶμα, τῆς οἰκείας ἐκείνην ἕδρας οὐχ οἷός τ' ἐγένετο μεταστῆσαι. ἐτύγχανε δ' ὢν οὐ μόνον δοῦλος, ἀλλὰ καὶ δυσειδέστατα τῶν ἐπ' αὐτοῦ πάντων ἀνθρώπων εἶχε. καὶ γὰρ φοξὸς ἦν. σιμὸς τὴν ῥῖνα. σιμὸς τὸ τράχηλον. πρόχειλος. μέλας. ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε. (ταυτὸν γὰρ αἴσωπος τῷ αἰθίοπι.) προγάστωρ. βλαισός. καὶ κυφός. τάχα καὶ τὸν ὁμηρικὸν θερσίτην τῇ αἰσχρότητι τοῦ εἴδους ὑπερβαλλόμενος. τὸ δὲ δὴ πάντων ἐν αὐτῷ χείριστον ἦν, τὸ βραδύγλωσσον, καὶ τὸ τῆς φωνῆς ἄσημόν τε καὶ ἀδιάρθρωτον. ἃ πάντα καὶ δοκεῖ τὴν δουλείαν αἰσώπῳ παρασκευάσαι. καὶ γὰρ δὴ καὶ θαῦμα ἂν ἦν, εἰ οὕτως ἀτόπως ἔχοντι τοῦ σώματος, διεγένετο τὰς τῶν δουλούντων ἄρκυς διαφυγεῖν. ἀλλὰ τὸ μὲν σῶμα τοιοῦτον ἦν τῷ ἀνδρί. τὴν δὲ ψυχήν, ἀγχινούστατος ἐπεφύκει, καὶ πρὸς ἐπίνοιαν πᾶσαν ἐπηβολώτατος. ὁ κεκτημένος τοίνυν αὐτόν, ἅτε πρὸς οὐδὲν οἰκίας ἔργων οἰκείως ἔχοντα, σκάπτειν εἰς ἀγρὸν διαπέσταλεν. ὁ δὲ ἀπελθών, προθύμως τοῦ ἔργου εἴχετο. ἀφικομένῳ δέ ποτε καὶ τῷ δεσπότῃ πρὸς τὸν ἀγρόν, ἐφ' ᾧ τῶν ἔργων ἐπισκοπὴν θέσθαι, γεωργός τις σῦκα τῶν ἀγαθῶν δρεψάμενος δῶρον ἤνεγκεν. ὁ δ' ἐπὶ τῷ τῆς ὀπώρας ἡσθεὶς ὡραίῳ, ἀγαθόποδι τῷ οἰκέτῃ, τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδί, φυλάττειν ἐκέλευσεν, ὡς αὐτῷ μετὰ τὸ λουτρὸν παρατεθῆναι. συμβὰν δ' οὕτω, καὶ τοῦ αἰσώπου διὰ δή τινα χρείαν εἰσελθόντος εἰς τὴν οἰκίαν, ἀφορμῆς ὁ ἀγαθόπους λαβόμενος, βουλὴν τοιάνδε τῶν συνδούλων τινὶ προτείνει. ἐμφορηθῶμεν εἰ δοκεῖ τῶν σύκων ὦ οὗτος. κἂν ὁ δεσπότης ἡμῶν ταῦτα ζητήσῃ, ἀλλ' ἡμεῖς τοῦ αἰσώπου καταμαρτυρήσομεν ἄμφω, ὡς

φῶ, ὡς εἰς τὴν οἰκίαν εἰσδραμόντος, καὶ τὰ σῦκα λά-
θρα καταφαγόντος, καὶ ἐπὶ ἀληθεῖ θεμελίῳ τῇ πρὸς τὸμ
οἶκομ εἰσόδῳ, πολλὰ τῶν ψευδῶν ἐποικοδομήσομεν, καὶ
τὸ μηδὲν ἔσαι ὅγε εἷς πρὸς τοὺς δύο, καὶ ταῦτα μὴ δ' ἄνευ
ἐλέγχων διᾶραί ποτε τὴν γλῶτταμ δύναμιν ἔχων. δό-
ξαντος δὴ τούτου πρὸς τοὔργομ ἐχώρησαμ, καὶ τῶν σύκωμ
ἐσθίοντες, ἔλεγομ ἐφ' ἑκάστῳ σὺν γέλωτι, φεῦ σοι δύστηνε
αἴσωπε. ὁ τοίνυν δεσπότης ἐπανελθὼν ἀπὸ τοῦ λουτροῦ, καὶ
τὰ σῦκα ζητήσας, καὶ ἀκούσας, ὡς αἴσωπος αὐτὰ κα-
τεδήδοκε, τόν τε αἴσωπομ σὺν ὀργῇ κελεύει κληθῆναι,
καὶ κληθέντι φησί. λέγε μοι ὦ κατάρατε, οὕτω μου κατε-
φρόνησας, ὡς εἰς τὸ ταμιεῖομ εἰσελθεῖμ, καὶ τὰ ἑτοιμα-
σθέντα μοι σῦκα θοινήσασθαι; ὁ δὲ, ἀκούωμ μὲν, καὶ συνϊ-
εὶς ἦμ, λαλεῖμ δὲ εἶχεμ οὐδ' ὁπωσοῦν διὰ τὸ βραδύγλωσ-
σομ, μέλλωμ δὲ ἤδη τύπτεσθαι, τῶν κατηγόρωμ σφο-
δροτέρωμ ἐπικειμένωμ, πεσὼμ πρὸς τοὺς τοῦ δεσπότου πό-
δας, ἀνασχέσθαι μικρὸμ ἐδεῖτο. δραμὼμ δὲ, καὶ χλιαρὸμ
ὕδωρ προσενεγκὼμ, τοῦτό τε πέπωκε, καὶ τοὺς δακτύ-
λους εἰς τὸ στόμα καθεὶς, αὖθις τὸ ὑγρὸμ μόνομ ἀνέβαλεμ.
οὔπω γὰρ τροφῆς ἁψάμενος ἔτυχεμ. ἠντιβόλει γοῦν αὐτὸ
τοῦτο καὶ τοὺς διώκοντας δρᾶσαι, ὡς ἂμ δῆλομ γένηται,
τίς ὁ τὰ σῦκα διαφορήσας. ὁ δὲ δεσπότης τὸ νόημομ αὐ-
τοῦ θαυμάσας, οὕτω ποιεῖμ καὶ τοὺς ἄλλους ἐπέταξεμ. οἱ δὲ
βουλεύσαντο πιεῖμ μὲν τοῦ ὕδατος, μὴ μέντοι καθεῖναι
κατὰ τοῦ λαιμοῦ τοὺς δακτύλους, ἀλλ' ἐπὶ τὰ πλάγια τῶν
γνάθωμ αὐτοὺς παραφέρειμ. οὐκ ἔφθασαμ δὲ πιόντες, καὶ τὸ
χλιαρὸμ ὕδωρ ἐκεῖνο ναυτίαμ τοῖς πεπωκόσι παραχρῆ-
μα ἐπενεγκόμ, αὐτομάτην προέχε τὴν ὀπώραν ἀναδοθῆ-
ναι. τότε τοίνυν πρὸ ὀφθαλμῶμ πεσόντος, τοῦ τε κακουρ-

γήματος τῶν οἰκετῶν, καὶ τῆς συκοφαντίας, ὁ μὲν δεσπότης ἐκέλευσεν αὐτοὺς γυμνωθέντας μαστίζεσθαι. οἱ δ' ἐπέγνωσαν σαφῶς καὶ τὸν εἰπόντα, ὡς ὅς τις καθ' ἑτέρου δόλια μηχανεύεται, αὐτῷ λέληθε τὸ κακὸν ἀρχιτεκτονῶν. τῇ δ' ἐπιούσῃ, τοῦ μὲν δεσπότου εἰς ἄστυ ἐπαναζεύξαντος, τοῦ δ' αἰσώπου σκάπτοντος ᾗ προσετάχθη, ἱερεῖς τῆς ἀρτέμιδος εἴτ' ἄλλοι τινὲς ἄνθρωποι τῆς ὁδοῦ πλανηθέντες, καὶ τῷ αἰσώπῳ περιτυχόντες, προὔτρεπον τὰ πρὸς διὸς ξενίου τὸν ἄνδρα, τὴν εἰς ἄστυ φέρουσαν αὐτοῖς ὑποδεῖξαι. ὁ δ' ὑπὸ σκιὰν δένδρου τοὺς ἄνδρας ἀπαγαγὼν πρότερον, καὶ λιτὸν παραθέμενος δεῖπνον, εἶτα καὶ ἡγησάμενος αὐτοῖς, εἰς ἣν ἐζήτουν ὁδὸν εἰσήνεγκεν. οἱ μὲν οὖν τοῦτο μὲν ἐπὶ τῇ ξενίᾳ, τοῦτο δὲ καὶ ἐπὶ τῇ ὁδηγίᾳ διαφερόντως τοῦ ἀνδρὸς ἐξαρτηθέντες, τάς τε χεῖρας εἰς οὐρανὸν ἦραν, καὶ εὐχῇ τὸν εὐεργέτην ἠμείψαντο. αἴσωπος δ' ὑποστρέψας, καὶ εἰς ὕπνον καταπεσὼν, ὑπό τε τοῦ συνεχοῦς πόνου καὶ καύματος, ἔδοξεν ἰδεῖν τὴν τύχην ἐπιστᾶσαν αὐτῷ, καὶ λύσιν τῆς γλώττης καὶ λόγου δρόμον καὶ σοφίαν τὴν τῶν μύθων χαριζομένην. εὐθὺς οὖν διϋπνισθεὶς, φησί, βαβαὶ πῶς ἡδέως κεκοίμημαι. ἀλλὰ καὶ καλὸν ὄνειρον ἰδεῖν ἔδοξα. καὶ ἰδοὺ ἀκωλύτως λαλῶ βοῦς, ὄνος, δίκελλα. νὴ τοὺς θεοὺς συνῆκα πόθεν μοι τἀγαθὸν προσεγένετο. τοῦτο εὐσεβήσας γὰρ εἰς τοὺς ξένους, ἀντιλαμβανομένου τοῦ κρείττονος ἔτυχον. ἄρ' οὖν τὸ εὖ ποιεῖν ἀγαθῶν ἐστι πλῆρες ἐλπίδων. οὕτω μὲν οὖν αἴσωπος ὑπερησθεὶς τῷ πράγματι, πάλιν ἤρξατο σκάπτειν. τοῦ δ' ἐφεστηκότος τῷ ἀγρῷ (ζηνᾶς ἦν αὐτῷ τοὔνομα) πρὸς τοὺς ἐργαζομένους ἐλθόντος, καὶ τούτων ἕνα, ἐπειδὴ μικρὸν ἐσφάλη τοῦ ἔργου, τῇ ῥάβδῳ πατάξαντος, αἴσωπος

παράχρημα ἀνέκραγεν. ἄνθρωπε, τοῦ χάριν τὸν μηδὲν ἠδι-
κηκότα οὕτως αἰκίζῃ, καὶ πᾶσιν εἰκῇ πληγὰς ἐμφο-
ρεῖς δι' ἡμέρας; πάντως ἀναγγελῶ ταῦτα τῷ κεκτημέ-
νῳ. ζηνᾶς δὲ ταῦτα τοῦ αἰσώπου ἀκούσας, ἐξεπλάγη τε οὐ
μέσως, καὶ πρὸς ἑαυτὸν εἶπεν, αἴσωπος λαλεῖν ἀρξάμε-
νος, οὐδὲν ἐμὸν ὄφελος ἔσται. φθάσας τοίνυν αὐτὸς κα-
τηγορήσω αὐτοῦ ἐπὶ τοῦ δεσπότου, πρὶν αὐτὸς τοῦτ' αὐτὸ
δράσῃ, καί με ὁ δεσπότης τῆς ἐπιτροπῆς παραλύσῃ. ταῦτ'
εἰπὼν εὐθὺ τῆς πόλεως πρὸς τὸν δεσπότην ἤλαυνε. καὶ
δὴ σὺν θορύβῳ προσελθὼν χαῖρέ φησι δέσποτα. ὁ
δὲ, τί τε θορυβούμενος πάρει φησί. καὶ ὁ ζηνᾶς, χρῆμά τι
τερατῶδες ἐν τῷ ἀγρῷ συνέβη. καὶ ὁ δεσπότης, ἦπου τι
δένδρον παρὰ καιρὸν καρπὸν ἤνεγκεν; ἢ τῶν κτηνῶν τι πα-
ρὰ φύσιν ἐγέννησε; καὶ ὃς, οὐχ οὕτως, ἀλλ' αἴσωπος
ἄναυδος τὸ πρότερον ὢν, νυνὶ λαλεῖν ἤρξατο. καὶ ὁ δε-
σπότης, οὕτω σοι μηδὲν τῶν ἀγαθῶν γένοιτο, τοῦτο νομί-
ζοντι τέρας εἶναι. ὁ δὲ, καὶ μάλα φησίν. ἃ μὲν γὰρ εἰς
ἐμὲ περιύβρισεν, ἑκὼν παρίημι δέσποτα, εἰς δὲ σὲ καὶ θε-
οὺς οὐ φορητὰ βλασφημεῖ. ἐπὶ τούτοις ὀργῇ ληφθεὶς ὁ
δεσπότης, τῷ ζηνᾷ φησιν. ἰδού. σοι παραδέδοται αἴσω-
πος. ἀπόδου. δώρησαι. ὃ βούλει ἐπ' αὐτῷ ποίησον. τοῦ
δὲ ζηνᾶ ἐπ' αὐτῷ γενόμενον παραλαβόντος τὸν αἴσω-
πον, καὶ τὴν κατ' αὐτοῦ δεσποτείαν αὐτῷ ἀναγγείλαν-
τος, ἐκεῖνος ὅ, τι δή ποτε βουλομένῳ σοί ἐστί φησιν ἐρ-
γάσασθαι. κατὰ δὲ δή τινα τύχην ἀνδρός τινος κτήνη ζητοῦν-
τος περὶ αὐτὰ, καὶ διὰ ταῦτα τὸν ἀγρὸν διιόντος ἐκεῖνον,
καὶ τὸν ζηνᾶν ἐρομένου, ἐκεῖνος θρέμμα μὲν, οὐκ ἔστι μοί
φησιν ἀποδόσθαι, σωμάτιον δὲ ἄῤῥεν ὅπερ εἰ θέλεις ὠνήσα-
σθαι, πάρεστι. τοῦ δὲ ἐμπόρου φήσαντος ὑποδεχθῆναι

αὐτῷ τὸ σωμάτιον, καὶ τοῦ ζηνᾶ τὸν αἴσωπον μεταπεμψαμένου, ὁ ἔμπορος ἰδὼν αὐτὸν καὶ ἀνακαγχάσας, πόθεν σοί φησι πρὸς τὸν ζηνᾶν ἥδε ἡ χύτρα; πότερον στέλεχός ἐστι δένδρου, ἢ ἄνθρωπος; οὗτος εἰ μὴ φωνὴν εἶχεν, οὐδὲν ἂν ἔδει μὴ οὐχὶ δοκεῖν ἀσκοκήλη. ἵνα τί μοι τὴν πορείαν διέκοψας τουτουῒ τοῦ καθάρματος ἕνεκεν. ταῦτ' εἰπὼν, ἀπῄει τὴν ἑαυτοῦ ὁδόν. ὁ δ' αἴσωπος μεταδιώξας αὐτὸν, μεῖνόν φησιν. ὁ δὲ, μεταστραφεὶς, ἄπιθι φησὶν ἀπ' ἐμοῦ ῥυπαρώτατε κύων. καὶ ὁ αἴσωπος, εἰπέ μοι τίνος ἕνεκεν δεῦρο ἐλήλυθας; καὶ ὁ ἔμπορος, κάθαρμα, ἵνα τι χρηστὸν πρίωμαι. σοῦ δὲ ἀχρήστου καὶ σαπροῦ ὄντος, οὐ χρήζω. καὶ ὁ αἴσωπος, ὤνησαί με, καὶ εἴ τις ἐστὶ πίστις, πολλά σε ὠφελῆσαι οἷός τ' εἰμί. καὶ ὃς, τί δ' ἂν σοῦ ὀναίμην, συγκήματος ὄντος αὐτόχρημα; καὶ ὁ αἴσωπος, οὐ πάρεισί σοι παιδία οἴκοι ἀτακτοῦντα καὶ κλαίοντα; τούτοις ἐπίστησόν με παιδαγωγόν, καὶ πάντως αὐτοῖς ἀντὶ μορμοῦς ἔσομαι. γελάσας οὖν ἐπὶ τούτῳ ὁ ἔμπορος, φησὶ τῷ ζηνᾷ. πόσου τὸ κακὸν τοῦτο πωλεῖς ἀγγεῖον; ὁ δὲ, τριῶν φησιν ὀβολῶν. ὁ δ' ἔμπορος αὐτίκα τοὺς τρεῖς ὀβολοὺς κατεβάλλετο λέγων, οὐδὲν κατεθέμην, καὶ οὐδὲν ἐπριάμην. ὁδευσάντων τοιγαροῦν καὶ ἀφικομένων αὐτῶν οἴκαδε, παιδάρια δύο ἔτι ὑπὸ μητρὶ τελοῦντα, τὸν αἴσωπον ἰδόντα καὶ συγχυθέντα, ἀνέκραξε. καὶ ὁ αἴσωπος εὐθὺς τῷ ἐμπόρῳ φησίν, ἔχεις μου τῆς ἐπαγγελίας ἀπόδειξιν. ὁ δὲ γελάσας, εἰσελθών φησιν, ἄσπασαι τοὺς συνδούλους σου. τὸν δὲ εἰσελθόντα καὶ ἀσπασάμενον ἰδόντες ἐκεῖνοι, τί ποτ' ἄρα κακὸν τῷ ἡμῶν δεσπότῃ φασὶ συμβέβηκεν, ὅτι σωμάτιον αἰσχρὸν οὕτως ἐπρίατο; ἀλλ' ὡς ἔοικεν, ἀντὶ βα-

σκανίου

σκανίου τοῦτο τῆς οἰκίας ὠνήσατο. μετὰ δ' οὐ πολὺ ἔτι ὁ ἔμπορος εἰσελθὼν, τὰ πρὸς ὁδὸν εὐτρεπισθῆναι τοῖς δούλοις ἐπέσκηψε. μέλλειν γὰρ τὴν ἐπιοῦσαν εἰς ἀσίαν πορεύεσθαι. οἱ μὲν οὖν αὐτίκα τὰ σκεύη διεμερίζοντο. ὁ δ' αἴσωπος ἐδεῖτο τὸ κουφότατον τῶν φορτίων αὐτῷ παραχωρεῖν, ἅτε δὴ νεωνήτῳ, καὶ μήπω πρὸς τὰς τοιαύτας ὑπουργίας γεγυμνασμένῳ. τῶν δὲ, ἔτι εἰ μηδὲν ἆραι βούληται συγγνώμην παρεχομένων, ἐκεῖνος οὐ δεῖν ἔλεγε πάντων κοπιώντων αὐτὸν μόνον ἀσυντελῆ τυγχάνειν. τῶν δὲ ὅπερ ἂν ἆραι βούληται ἐπιτρεπόντων, δεῦρο, κἀκεῖσε περιβλεψάμενος, καὶ σκεύη ἀθροίσας διάφορα, σάκκους, καὶ στρώματα καὶ γυργάθους, ἕνα γύργαθον ἄρτων πεπληρωμένον, ὃν δύο βαστάζειν ἔμελλον, αὐτῷ ἐπιτεθεῖναι κελεύει. οἱ δὲ γελάσαντες, καὶ μηδὲν εἶναι μωρότερον τοῦ χυδαίου τούτου καθάρματος φάμενοι, ὃς μικρῷ μὲν ἔμπροσθεν τὸ κουφότατον ἐδεῖτο ἆραι τῶν φορτίων, νῦν δὲ τὸ πάντων βαρύτατον εἵλετο. χρῆναι μέντοι τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶσαι, ὑπολαβόντες τὸν γύργαθον, ἐπιτιθέασι τῷ αἰσώπῳ. ὁ δὲ, κατὰ τῶν ὤμων τὸ φορτίον ἀπηχθισμένος, δεῦρο κἀκεῖσε διεκλονεῖτο. τὸν δὲ ἰδὼν ὁ ἔμπορος, ἀπεθαύμασεν, καὶ φησὶν, αἴσωπος εἰς τὸ πονεῖν πρόθυμος ὢν, ἤδη τὴν ἑαυτοῦ τιμὴν ἐξέτισε. κτήνους γὰρ φόρτον ἤρατο. ἐπεὶ δὲ ὥρας οὔσης ἀρίστου κατέλυσαν, αἴσωπος κελευσθεὶς ἀρτοδοτῆσαι, ἡμιδεᾶ τὸν γύργαθον πολλῶν φαγόντων ἐποίησεν. ὅθεν καὶ μετὰ τὸ ἄριστον κουφοτέρου τοῦ φορτίου γεγονότος, προθυμότερον ὥδευε. καὶ δὴ καὶ ἑσπέρας οὗ κατήχθησαν πάλιν ἀρτοδοτήσας, τῇ ἐφεξῆς ἡμέρᾳ κενὸν παντάπασιν ἐπὶ τῶν ὤμων ἀνέχων τὸν γύργαθον, πρῶτος ἁπάν-

των ἦν, ὥς καὶ τοῖς συνδούλοις προτρέχοντα τοῦτον ὁρῶσιν ἀμφίβολα γίνεσθαι, πότερον ὁ σαπρὸς ἐκεῖνος αἴσωπος, ἤ τις ἕτερος. καὶ καταμαθοῦσιν ἐκεῖνον εἶναι, θαυμάζειν ὅπως τὸ μεμελανωμένον ἀνθρώπιον, συνεχέστερα πάντων ἔπραξε τοὺς ῥαδίως δαπανωμένους ἄρτους ἀράμενον, ἐκείνων τὰ στρώματα καὶ τὰ λοιπὰ τῶν σκευῶν ἐπιφορτισαμένων, ἃ μὴ φύσιν ἔλαχεν οὕτωσὶ δαπανᾶσθαι. ὁ μὲν οὖν ἔμπορος ἐπὶ τῇ ἐφέσῳ γενόμενος, τὰ μὲν ἄλλα τῶν ἀνδραπόδων σὺν κέρδει ἀπέδοτο. ὑπελείφθη δ' αὐτῷ τρία, γραμματικὸς, ψάλτης, καὶ ὁ αἴσωπος. τῶν δέ τις αὐτῷ συνήθων συμβουλεύσας εἰς σάμον ἀπᾶραι, ὡς ἐκεῖ δὴ σὺν μείζονι κέρδει ἀπεμπολήσοντι τὰ σωμάτια, πείθει. καὶ ὁ ἔμπορος ἐπιβὰς τῇ σάμου, τὸν μὲν γραμματικὸν σὺν τῷ ψάλτῃ καινὰς στολὰς ἀμφιέσας· ἵστησιν ἄμφω ἐπὶ τοῦ πρατηρίου. τὸν δ' αἴσωπον, ἐπεὶ μηδαμόθεν εἶχε κοσμῆσαι, ὅλος γὰρ ἦν ἁμάρτημα, ἐσθῆτα σάκκου τούτῳ περικαθάψας, μέσον ἀμφοῖν ἔστησεν, ὡς καὶ τοὺς ὁρῶντας ἐξίστασθαι λέγοντας, πόθεν τοῦτο τὸ βδέλυγμα, τὸ καὶ τοὺς ἄλλους ἀφανίζον; αἴσωπος δὲ, καίπερ ὑπὸ πολλῶν σκωπτόμενος, ἵστατο μέντοι τολμηρὰ πρὸς αὐτοὺς ἀτενίζων. ξάνθος δὲ ὁ φιλόσοφος εἷς τῶν ἐνοικούντων ὢν τηνικαῦτα τῇ σάμῳ, προελθὼν ἐπὶ τὴν ἀγορὰν, καὶ θεασάμενος τοὺς μὲν δύο παῖδας σὺν εὐπρεπείᾳ περιϊσαμένους. μέσον δὲ τούτων τὸν αἴσωπον, ἠγάσατο τὴν τοῦ ἐμπόρου ἐπίνοιαν. ὅπως τὸν αἰσχρὸν ἐν τῷ μεταξὺ τέταχεν, ὡς τῇ παραθέσει τοῦ δυσειδοῦς, καλλίους ἑαυτῶν τοὺς νεανίας φανῆναι. ἐγγυτέρω δ' ἐπιστὰς. ἐπύθετο τοῦ ψάλτου, πόθεν ἂν εἴη, καὶ ὃς, καππαδόκης. καὶ ὁ ξάνθος. τί οὖν οἶδας ποιεῖν; ὁ δὲ, πάντα.

καὶ ἐπὶ

καὶ ἐπὶ τούτοις αἴσωπος ἐξεγέλασε. τῶν δὲ σχολασικῶν, οἳ τῷ ξάνθῳ συνῆσαν, ὡς εἶδον αὐτὸν γελάσαντα καὶ παραφήναντα τοὺς ὀδόντας ἐξαίφνης, καί τι τέρας ὁρᾶν δοξάντων, ὁ μὲν, ἦ που κήλη ὀξεῖν ὀδόντας ἔχουσα λέγοντος, ὁ δὲ, τί ποτε ἄρα ἰδὼν ἐγέλασε; τὸ δ᾽ ὡς οὐκ ἐγέλασεν, ἀλλ᾽ ἐξερίγωσε. πάντων δὲ βουλομένων γνῶναι τίς ποτε ἦν ὁ γέλως, εἷς τις αὐτῶν προσελθὼν τῷ αἰσώπῳ φησὶν, ὅτου χάριν ἐγέλασας; καὶ ὃς, ἀπόχώρει θαλάττιον πρόβατον. τοῦ δὲ ἀμηχανήσαντος τοῖς ὅλοις ἐπὶ τῷ λόγῳ, κἀκ τοῦ εὐθέως ἀναχωρήσαντος, ὁ ξάνθος τῷ ἐμπόρῳ φησὶ, πόσου τιμήματος ὁ ψάλτης; τὸ δὲ, χιλίων ὀβολῶν ἀποκριναμένου, πρὸς τὸν ἕτερον ἦλθεν, ὑπερβάλλον ἀκούσας τὸ τίμημα. καὶ μέντοι καὶ τοῦτον ἐρομένου τοῦ φιλοσόφου, πόθεν ἂν εἴη, καὶ ἀκούσαντος ὅτι λυδὸς, καὶ ἐπανερομένου. τί οὖν οἶδας ποιεῖν; κἀκείνου φαμένου πάντα, πάλιν ἐγέλασεν αἴσωπος. τῶν σχολασικῶν δέ τινος ἀπορουμένου, τί δή ποτε οὗτος πρὸς πάντας γελᾷ; ἕτερος πρὸς αὐτὸν εἶπεν. εἰ βούλει καὶ σὺ θαλάττιος τράγος ἀκοῦσαι, ἐρώτησον. ὁ δὲ ξάνθος, καὶ αὖθις ἤρετο τὸν ἔμπορον, πόσου τιμήματος ὁ γραμματικός. κἀκείνου τρισχιλίων ὀβολῶν ἀποκριναμένου, δυσφόρως ὁ φιλόσοφος ἤνεγκε τὴν ὑπερβολὴν τοῦ τιμήματος, καὶ στραφεὶς ἀπήει. τῶν δὲ σχολασικῶν ἐρομένων, εἰ μὴ ἤρεσεν αὐτῷ τὰ σωμάτια, ναί φησιν. ἀλλὰ δόγμα κεῖται, μὴ ἀνδράποδον ὠνεῖσθαι τῶν πολυτίμων. ἑνὸς δὲ τούτων φαμένου ἀλλ᾽ εἰ ταῦθ᾽ οὕτως ἔχει; τὸν γοῦν αἰσχρὸν τοῦτον οὐδεὶς νόμος ἐμποδὼν ἵσταται μὴ ὠνήσασθαι. τὴν αὐτὴν γὰρ καὶ οὗτος λειτουργίαν εἰσοίσει. καὶ ἡμεῖς τὸ τίμημα τούτου

καταθησόμεθα, ὁ ξάνθος ἔφη, ἀλλὰ γελοῖον ἂν εἴη
ὑμᾶς ἐκτίσαι τὸ τίμημα, ἐμὲ δὲ τὸν δοῦλον ὠνήσασθαι.
ἄλλως τε. καὶ τὸ γύναιόν μου καθάριον ὂν, οὐκ ἂν ἀνά-
σχοιτο ὑπ' αἰσχροῦ σωματίου ὑπηρετεῖσθαι. τῶν δὲ σχολα-
στικῶν αὖθις εἰπόντων, ἀλλ' ἐγγὺς ἡ γνώμη, καὶ τὸ μὴ
» πείθεσθαι γυναικί, ὁ φιλόσοφος εἶπε. λάβωμεν πρότε-
» ρον πεῖραν, εἰ οἶδέ τι. μή ποτε καὶ τὸ τίμημα μάτην
ἀπόληται. προσελθὼν γοῦν τῷ αἰσώπῳ, χαῖρε φησί.
καὶ ὅς, μὴ γὰρ ἐλυπούμην. καὶ ὁ ξάνθος, ἀσπάζομαί
σε. κἀκεῖνος κἀγώ σε. καὶ ὁ ξάνθος, ἅμα τοῖς ἄλλοις
ἐπὶ τῷ παραλόγῳ καὶ ἑτοίμῳ τῆς ἀποκρίσεως ἐκπλαγείς,
ἤρετο, ποταπὸς εἶ; ὁ δὲ μέλας φησί. καὶ ὁ ξάνθος, οὐ τοῦτό
φημι, ἀλλὰ πόθεν γεγέννησαι. καὶ ὅς, ἐκ τῆς γαστρὸς τῆς μη-
τρός μου. καὶ ὁ ξάνθος, οὐ τοῦτο λέγω, ἀλλ' ἐν ποίῳ τό-
πῳ γεγέννησαι. κἀκεῖνος, οὐκ ἀνήγγειλέ μοι ἡ μήτηρ μου,
πότερον ἐν ἀνώγεῳ, ἢ κατώγεῳ. καὶ ὁ φιλόσοφος, τί
δὲ πράττειν ἐπίστασαι; κἀκεῖνος, οὐδέν. καὶ ὁ ξάνθος, τί-
να τρόπον; ὁ δέ, ἐπειδήπερ οὗτοι πάντα ἐπίστασθαι ἐπηγ-
γείλαντο, ἐμοὶ δὲ κατέλιπον οὐδὲ ἕν. καὶ ἐπὶ τούτοις οἱ
σχολαστικοὶ ὑπερφυῶς ἀγάμενοι, νὴ τὴν θείαν πρόνοιαν
ἔφασαν, πάνυ καλῶς ἀπεκρίνατο. οὐδὲ γὰρ εἷς ἔστιν ἄν-
» θρωπος ὃς ἂν πάντα εἰδείη. διὰ γὰρ ταῦτα, δηλαδὴ ἐ-
» γέλα. αὖθις οὖν ξάνθος φησί, βούλει πρίωμαί σε; καὶ
ὁ αἴσωπος, ἐμοῦ πρὸς τοῦτο συμβούλου δέῃ; ὁπότερον
» σοι δοκεῖ βέλτιον, ἢ πρίασθαι, ἢ μή, ποίει. οὐδεὶς γὰρ οὐδὲν
» πρὸς βίαν ποιεῖ, τοῦτο παρὰ τῇ σῇ κεῖται γνώμῃ, κἂν μὲν
βούλῃ, βαλαντίου θύραν ἀνοίξας, ἀργύριον ἀρίθμει. εἰ δέ,
μὴ σκῶπτε. πάλιν οὖν οἱ σχολαστικοὶ πρὸς ἀλλήλους ἔφα-
σαν, νὴ τοὺς θεοὺς νενίκηκε τὸν καθηγητήν. τοῦ δὲ ξάν-

θου φήσαν

θου φήσαντος, ἐὰν πρίωμαί σε δραπετεῦσαι βουλή-
σῃ, γελάσας ὁ αἴσωπος ἔφη, τοῦτο εἰ βουλήσομαι πρᾶ-
ξαι, οὐ πάντως χρήσωμαί σοι συμβούλῳ, ὡς δὴ καὶ σὺ
μικροῦ πρόσθεν ἐμοί. καὶ ὁ ξάνθος, καλῶς μὲν λέγεις, «
ἀλλ' αἰσχρὸς εἶ. κἀκεῖνος, εἰς τὸν νοῦν ἀφορᾶν δεῖ φι- «
λόσοφε, καὶ μὴ εἰς τὴν ὄψιν. τότε τῷ ἐμπόρῳ προσελ-
θὼν ὁ ξάνθος φησί, πόσου τοῦτον πωλεῖς, καὶ ὅς, κα-
τμῆσαί μου πάρει τὴν ἐμπορίαν. ὅτι τοὺς ἀξίους σου
παῖδας ἀφείς, τὸν αἰσχρὸν τοῦτον εἵλου. θάτερον τῶν
λοιπῶν ὤνησαι. τοῦτον δέ, πρόσδομα λάβε. καὶ ὁ
ξάνθος, οὐ δῆτα, ἀλλὰ τοῦτον. καὶ ὁ ἔμπορος,
ἑξήκοντα ὀβολῶν ὤνησαι. καὶ οἱ μὲν σχολαστικοὶ πα-
ραχρῆμα συνεισενεγκόντες, κατέθεντο. ὁ δὲ ξάνθος,
ἐκτήσατο. οἱ τοίνυν τελῶναι τὴν πρᾶσιν μεμαθη-
κότες, παρῆσαν ἀνακρίνοντες, τίς μὲν ὁ ἀπεμπο-
λήσας, τίς δ' ὁ πριάμενος. αἰσχυνομένων δ' ἀμφοτέ-
ρων ἑαυτοὺς ἀνειπεῖν διὰ τὸ πενιχρὸν τοῦ τιμήμα-
τος, ὁ αἴσωπος στὰς εἰς τὸ μέσον ἀνέκραξεν, ὁ μὲν
πραθείς, ἐγώ. ὁ πριάμενος δ' οὑτοσί, καὶ ὁ πωλήσας
ἐκεινοσί. εἰ δ' αὐτοὶ σιωπῶσιν, ἐγὼ ἄρα ἐλεύθερός εἰ-
μι. οἱ δὲ τελῶναι διαχυθέντες, ἐχαρίσαντό τε τῷ ξάν-
θῳ τὸ τέλος, καὶ ἀπηλλάγησαν. ὁ μὲν οὖν αἴσωπος,
ἠκολούθει πρὸς τὴν οἰκίαν ἀπιόντι τῷ ξάνθῳ. μεσημ-
βρινοῦ δὲ καύματος ὄντος, ὁ ξάνθος ἐν τῷ περιπα-
τεῖν τὸν χιτῶνα ἀνασυράμενος, οὔρει. ὅπερ ἰδὼν αἴ-
σωπος, καὶ τῶν ἱματίων ἐκείνου δραξάμενος ὄπισθεν,
πρὸς ἑαυτὸν εἵλκυσε. καὶ φησί, τὴν ταχίστην με πώλη-
σον, ἐπεὶ δραπετεύσω. καὶ ὁ ξάνθος, ἀνθ' ὅτου; ὅτι
φησὶν οὐκ ἂν δυναίμην τοιούτῳ ὑπηρετεῖσθαι δεσπότῃ.

ἐν γὰρ

εἰ γὰρ σὺ δεσπότης ὢν καὶ μηδένα φοβούμενος, ὅμως ἄνεσιν οὐ παρέχεις τῇ φύσει, ἀλλὰ βαδίζων οὐρεῖς, εἰ τύχοι τὸν δοῦλον ἐμὲ πρός τινα σταλῆναι διακονίαν, κἀν τῷ μεταξὺ τῆς πορείας τοιόνδε τι ἀπαιτήσαι τὴν φύσιν, ἀνάγκη πᾶσα πετόμενόν με ἀποπατεῖν. καὶ ὁ ξάνθος, τοῦτό σε θορυβεῖ; ἐξ ἴα κακὰ βουλόμενος διαδρᾶναι, βαδίζων οὐρῶ. καὶ ὅς, ποῖα; κἀκεῖνος, ἐσῶτί μοι, τὴν μὲν κεφαλὴν κατέκαυσεν ἂν ὁ ἥλιος, τοὺς δὲ πόδας, τὸ τῆς γῆς ἔδαφος ὂν ἐκπεπυρωμένον. ἡ δὲ τοῦ οὔρου δριμύτης, τὴν ὄσφρησιν ἂν ἐλυμήνατο. καὶ ὁ αἴσωπε, βάδιζε, πέπεικάς με. ἐπεὶ δὲ καὶ τῇ οἰκίᾳ ἐπέστησαν, ὁ ξάνθος παραγγείλας τῷ αἰσώπῳ μένειν πρὸ τοῦ πυλῶνος, ἐπειδὴ καθάρειον ὂν αὐτῷ τὸ γύναιον ἤδει, καὶ οὐκ ἐχρῆν ἐξαπίνης τοιοῦτον αἶσχος αὐτῇ φανῆναι, πρίν τινα καὶ πρὸς αὐτὴν ἀστεΐσηται· αὐτὸς δ᾽ εἰσελθὼν λέγει. κυρία, οὐκέτι με τοὐντεῦθεν ὀνειδιεῖς τῆς θεραπείας, ἧς πρὸς τῶν θεραπαινίδων τῶν σῶν ἀπολαύω. ἤδη γὰρ κἀγὼ παῖδά σοι ἐπριάμην, ᾧ, καὶ ὄψει κάλλος οἷον οὔπω τεθέασαι, ὃς καὶ ἤδη πρὸ τοῦ πυλῶνος ἕστηκε. κἀκεῖνος μὲν ταῦτα. αἱ δέ γε θεραπαινίδες ἀληθῆ νομίσασαι τὰ λεχθέντα, πρὸς ἀλλήλας οὐκ ἀγεννῶς ἠμφισβήτουν, περί του, τίνι τούτων νυμφίος ὁ νεώνητος ἔσται. τῆς δὲ τοῦ ξάνθου γυναικὸς εἴσω κληθῆναι τὸν νεώνητον κελευσάσης, μία τῶν ἄλλων μᾶλλον ὀργῶσα, καὶ ὡς ἀραβῶνα τὴν κλῆσιν ἁρπάσασα, τὸν νεώνητον ἐκδραμοῦσα ἐκάλει. κἀκείνου φαμένου, ἰδοὺ ἐγὼ πάρειμι. ἐκπλαγεῖσα σύ φησιν εἶ; καὶ ὅς, ναί. κἀκείνη, ἀβάσκαντα, μὴ εἰσέλθῃς εἴσω, καὶ πάντες φύγωσι. καὶ μέντοι καὶ ἄλλης ἐξελθούσης, καὶ ὡς εἶδεν αὐτόν,

παταχθείη σου φαμένης τὸ πρόσωπον, καὶ δεῦρο εἰσελθε. ἀλλὰ μὴ προσεγγίσῃς μοι. εἰσελθὼν ἔστη ἀντικρὺ τῆς δεσποίνης. ἡ δὲ, τοῦτον θεασαμένη, τὰς ὄψεις ἀπέστρεψε πρὸς τὸν ἄνδρα, φαμένη, πόθεν μοι τοῦτο τὸ τέρας ἤνεγκας; ἔκβαλε αὐτὸν τοῦ προσώπου μου. καὶ κἀνθος ἅλις σοι κυρία. μὴ ὑπόσκωπτέ μου τὸν νεώνητον. ἡ δὲ, δῆλος εἶ ξάνθε μισήσας με, ἑτέραν ἀγαγέσθαι βουλόμενος, καὶ ἴσως αἰδούμενος φράσαι μοι, ὡς τῆς οἰκίας ἀναχωρήσω, τὸν κυνοκέφαλόν μοι τοῦτον κεκόμικας, ὡς ἂν τὴν αὐτοῦ δυσαναχετοῦσα λατρείαν, φύγω. δὸς οὖν μοι τὴν προῖκά μου καὶ πορεύσομαι. πρὸς ταῦτα τοῦ ξάνθου μεμψαμένου τὸν αἴσωπον, ὡς κατὰ μὲν τὴν ὁδὸν ἀστεῖά τινα φθεγξαμένου περὶ τῆς τῶν περὶ βαδίζειν οὐρήσεως, νυνὶ δὲ πρὸς τὴν γυναῖκα μηδὲν λέγοντος, αἴσωπος ἔφη, βάλε αὐτὴν εἰς τὸ βάραθρον. καὶ ὁ ξάνθος, παῦε κάθαρμα, ἢ οὐκ οἶσθ᾽ ὅτι ταύτην ὡς ἐμαυτὸν στέργω; καὶ ὁ αἴσωπος, ἐρᾷς τῆς γυναικός; κἀκεῖνος, πάνυ μὲν οὖν δραπέτα. καὶ πρὸς τοῦτο αἴσωπος κροτήσας εἰς τὸ μέσον τὸν πόδα, μεγάλως ἀνέκραξε, ξάνθος ὁ φιλόσοφος γυναικοκρατεῖται. καὶ στραφεὶς πρὸς τὴν αὐτοῦ δέσποιναν ἔφη. σὺ ὦ δέσποινα, ἐβούλου τὸν φιλόσοφον ὠνήσασθαί σοι δοῦλον, νέον, εὐσωματοῦντα, σφριγῶντα, ὃν ἔδει γυμνὴν σε κἂν τῷ βαλανείῳ θεᾶσθαι, καί σοι προσπαίζειν τὰ εἰς αἰσχύνην τοῦ φιλοσόφου. εὐριπίδης, χρυσοῦν ἐγὼ σου φημὶ τὸ στόμα, τοιαῦτα λέγον πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλαττίων, πολλαὶ δὲ ποταμῶν. καὶ πυρὸς θερμοῦ πνοαί. δεινὸν δὲ πενία, δεινὰ δ᾽ ἄλλα μυρία. πλὴν οὐδὲν οὕτω δεινόν, ὡς γυνὴ κακή. σὺ δ᾽ ὦ δέσποινα

φιλοσόφου

φιλοσόφου γυνὴ οὖσα, ὑπὸ καλῶν νεανίσκων ὑπηρετεῖσθαι μὴ θέλει. μήπως ὕβριν τῷ ἀνδρί σου προστρίψῃς. ἡ δὲ ταῦτα ἀκούσασα, καὶ πρὸς μηδὲν ἀντειπεῖν δυνηθεῖσα, πόθεν ἄνερ φησὶ τὸ κάλλος τοῦτο τεθήρακας; ἀλλὰ καὶ λάλος ὁ σαπρὸς οὗτος φαίνεται καὶ εὐτράπελος. διαλλαγήσομαι τοίνυν αὐτῷ. καὶ ὁ ξάνθος, αἴσωπε, διήλλακταί σοι ἡ σὴ δέσποινα, καὶ ὁ αἴσωπος εἰρωνευσάμενος, μέγα τὸ χρῆμά φησι τὸ πραῦναι γυναῖκα. καὶ ὁ ξάνθος, σιώπα τοὐντεῦθεν. ὠνησάμην γάρ σε εἰς δουλείαν, οὐκ εἰς ἀντιλογίαν. τῇ δ' ὑστεραίᾳ ξάνθος ἕπεσθαι καὶ αἰσώπῳ κελεύσας, πρός τινα τῶν κήπων ἧκεν ὠνησόμενος λάχανα. τοῦ δὲ κηπωροῦ δέσμην λαχάνων θερίσαντος ἀνείληφεν αἴσωπος. τοῦ δὲ ξάνθου μέλλοντος ἤδη τῷ κηπωρῷ καταβάλλειν τὸ κέρμα, ὁ κηπωρὸς, ἔα κύριέ φησιν, ἑνὸς προβλήματος παρὰ σοῦ δέομαι. καὶ ὁ ξάνθος, τίνος; καὶ ὃς τί δή ποτε τὰ μὲν παρ' ἐμοῦ φυτευόμενα τῶν λαχάνων, καίπερ ἐπιμελῶς σκαλιζόμενά τε καὶ ἀρδευόμενα, βραδεῖαν ὅμως ποιεῖται τὴν αὔξησιν. οἷς δὲ αὐτομάτη ἐκ γῆς ἡ ἀνάδοσις, καί τοι μηδεμιᾶς ἐπιμελείας ἀξιουμένοις, τούτοις ὀξυτέρα ἡ βλάστησις. ὁ μὲν οὖν ξάνθος, καί τοι φιλοσόφου τῆς ζητήσεως οὔσης, μηδὲν ἕτερον συννοήσας εἰπεῖν, τῇ θείᾳ προνοίᾳ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις διοικεῖσθαί φησιν. ὁ δ' αἴσωπος (παρῆν γὰρ) ἐγέλασε. καὶ πρὸς αὐτὸν ὁ φιλόσοφος, πότερον, γελᾷς, ἢ καταγελᾷς; καὶ ὁ αἴσωπος, καταγελῶ φησιν, ἀλλ' οὐ σοῦ, τοῦ δὲ διδάξαντός σε. ἃ γὰρ ὑπὸ θείας προνοίας γίνεται, ταῦθ' ὑπὸ σοφῶν ἀνδρῶν τυγχάνει τῆς λύσεως. προβαλοῦ τοίνυν ἐμὲ, κἀγὼ λύσω τὸ πρόβλημα.

ἐν τοῦ

ἐν τούτῳ τοίνυν ὁ ξάνθος ἐπιστραφεὶς, λέγει πρὸς κηπω-
ρὸν ἥκιστα πάντων εὐπρεπές ἐστιν ὦ τᾶν, ἐμὲ τὸν ἐν τοῖς
σπουδαίοις ἀκροατηρίοις διαλεχθέντα, τὰ νῦν ἐν κήπῳ
λύειν σοφίσματα. παῖς δέ μου οὑτοσὶ πολλῶν πεῖ-
ραν ἔχων ἀκολουθίας, τούτῳ προσαναθέμενος, τῆς λύ-
σεως τεύξῃ τοῦ ζητουμένου. καὶ ὁ κηπωρὸς, οὗτος ὁ αἰσχρὸς
γράμματα εἶδεν, οἴμοι τῆς δυστυχίας. ἀλλὰ φράσον ὦ
λῷστε, εἰ τοῦ ζητουμένου τὴν διασάφησιν ἔγνωκας. καὶ
ὁ αἴσωπος, ἡ γυνή φησιν ἐπειδὰν πρὸς δεύτερον γά-
μον ἔλθῃ, τέκνα ἐκ τοῦ προτέρου ἀνδρὸς ἔχουσα, εἶπερ
εὕροι καὶ τὸν ἄνδρα τέκνα ἐκ τῆς προτέρας γυναικὸς
τεκνοποιησάμενον, ἃ μὴ αὐτὴ τέκνα ἐπηγάγετο, τού-
των μήτηρ ἐστίν. ἃ δ' εὗρεν ἐν τῷ ἀνδρὶ, τούτων ἐστὶ μη-
τρυιά. πολλὴν οὖν ἐν ἑκατέροις ἐνδείκνυται τὴν δια-
φοράν. τὰ μὲν γὰρ ἐξ αὐτῆς, φιλοστόργως καὶ ἐπιμε-
λῶς τρέφουσα διαγίνεται. τὰ δ' ἐξ ἀλλοτρίων ὠδίνων,
μισεῖ, καὶ ζηλοτυπίᾳ χρωμένη, τὴν ἐκείνων τροφὴν περι-
κόπτουσα, τοῖς ἑαυτῆς προστίθεται τέκνοις. τὰ μὲν γὰρ
φύσει ὡς οἰκεῖα φιλεῖ, ἀποστέργει δὲ τὰ τοῦ ἀνδρὸς ὡς
ἀλλότρια. τὸν ἴσον δὴ καὶ ἡ γῆ τρόπον, τῶν μὲν αὐτο-
μάτως ἐξ αὐτῆς φυομένων, μήτηρ ἐστίν. ἃ δ' αὐτὸς ἐμ-
φυτεύεις, τούτων γίνεται μητρυιά. οὗ χάριν, καὶ μᾶλ-
λον ὡς γνήσια τὰ οἰκεῖα τρέφει καὶ θάλπει. τοῖς δὲ πα-
ρὰ σοῦ φυτευομένοις, οὐ τοσαύτην ὡς νόθοις τὴν τρο-
φὴν νέμει. ἐπὶ τούτοις ἡσθεὶς ὁ κηπωρὸς, πιστεύσαις ἄν
μοί φησιν, ὅτι με ἀμηχάνου λύπης, καὶ ἀδολεσχίας ἐκού-
φισας. ἄπιθι προῖκα φέρων τὰ λάχανα. καὶ ὁσάκις
σοι τούτων δεῖ, ὡς εἰς οἰκεῖον κῆπον βαδίζων λάμβανε.
μεθ' ἡμέρας δὲ πάλιν εἰς τὸ βαλανεῖον ἐλθόντος τοῦ

ξάνθου

ξάνθου, καί τισιν ἐντυχόντος ἐκεῖ τῶν φίλων, καὶ πρὸς τὸν αἴσωπον εἰρηκότος, εἴς τε τὴν οἰκίαν προσδραμεῖν, καὶ φακῆν εἰς τὴν χύτραν ἐμβαλόντα ἑψῆσαι, ἐκεῖνος ἀπελθὼν, κόκκον ἕνα φακῆς εἰς τὴν χύτραν ἔψει βαλών. ὁ δὲ δὴ ξάνθος ἅμα τοῖς φίλοις λουσάμενος, ἐκάλει τούτους συναριστήσοντας. προεῖπε μέντοι ὡς λιτῶς, ἐπὶ φακῇ γὰρ ἔσται τὸ δεῖπνον. καὶ ὡς μὴ δεῖν τῇ ποικιλίᾳ τῶν ἐδεσμάτων τοὺς φίλους κρίνειν, ἀλλὰ δοκιμάζειν τὴν προθυμίαν. τῶν δὲ εἰξάντων, καὶ πρὸς τὴν οἰκίαν ἀφικομένων, ὁ ξάνθος φησὶ, δὸς ἡμῖν ἀπὸ λουτροῦ πίειν αἴσωπε. τοῦ δ' ἐκ τῆς ἀπορροίας τοῦ λουτροῦ λαβόντος καὶ ἐπιδεδωκότος, ὁ ξάνθος τῆς δυσωδίας ἀναπλησθεὶς, φεῦ τί τοῦτό φησιν αἴσωπε. ὁ δὲ, ἀπὸ λουτροῦ ὡς ἐκέλευσας. τοῦ δὲ ξάνθου τῇ παρουσίᾳ τῶν φίλων τὴν ὀργὴν ἐπισχόντος, καὶ λεκάνην αὐτῷ παρατεθῆναι κελεύσαντος, αἴσωπος τὴν λεκάνην θεὶς ἵστατο. καὶ ὁ ξάνθος, οὐ νίπτεις; κἀκεῖνος. ἐντέταλταί μοι ταῦτα ποιεῖν, ὅσα ἂν ἐπιτάξῃς. σὺ δὲ νῦν οὐκ εἶπας, βάλε ὕδωρ εἰς τὴν λεκάνην, καὶ νίψον τοὺς πόδας μου, καὶ θὲς τὰς ἐμβάδας, καὶ ὅσα ἐφεξῆς. πρὸς δὴ ταῦτα τοῖς φίλοις ὁ ξάνθος ἔφη. μὴ γὰρ δοῦλον ἐπριάμην, οὐκ ἔστιν ὅπως, ἀλλὰ διδάσκαλον. ἀνακλιθέντων τοίνυν αὐτῶν, καὶ τοῦ ξάνθου τὸν αἴσωπον ἐρωτήσαντος, εἰ ἥψηται ἡ φακῆ, δοίδυκι λαβὼν ἐκεῖνος τὸν τῆς φακῆς κόκκον ἀνέδωκεν. ὁ δὲ ξάνθος λαβὼν, καὶ οἰηθεὶς ἕνεκεν τοῦ πεῖραν λαβεῖν τῆς ἑψήσεως τὴν φακῆν δέξασθαι τοῖς δακτύλοις διαθρίψας ἔφη, καλῶς ἥψηται. κόμισον. τοῦ δὲ μόνον τὸ ὕδωρ κενώσαντος ἐν τοῖς τρυβλίοις καὶ παραθέντος, ὁ ξάνθος, ποῦ ἐστιν ἡ φακῆ φη-

πῆ φησί. καὶ ὅς, ἔλαβες αὐτήν. καὶ ὁ ξάνθος, ἕνα κόκκον ἥψησας; καὶ ὁ αἴσωπος, μάλιστα. φακῆν γὰρ ἑνικῶς εἶπας, ἀλλ' οὐ φακᾶς, ὃ δὴ πληθυντικῶς λέγεται. ὁ μὲν οὖν ξάνθος ἀπορήσας τοῖς ὅλοις, ἄνδρες ἑταῖροι ἔφη, οὗτος εἰς μανίαν με περιτρέψει. εἶτα στραφεὶς πρὸς τὸν αἴσωπον, εἶπεν. ἀλλ' ἵνα μὴ δόξω κακὲ δοῦλε τοῖς φίλοις ἐνυβρίζειν, ἀπελθὼν ὤνησαι πόδας χοιρείους τέτταρας, καὶ διὰ ταχέων ἑψήσας παράθες. τοῦ δὲ σπουδῇ τοῦτο ποιήσαντος, καὶ τῶν ποδῶν ἑψομένων, ὁ ξάνθος εὐλόγως θέλων τύψαι τὸν αἴσωπον, αὐτοῦ περί τι τῶν εἰς χρείαν ἀσχολουμένου, ἕνα τῶν ποδῶν ἐκ τῆς χύτρας λαθραίως ἀνελόμενος, ἔκρυψε. μετὰ μικρὸν δὲ καὶ ὁ αἴσωπος ἐλθὼν, καὶ τὴν χύτραν ἐπισκεψάμενος, ὡς τοὺς τρεῖς μόνους πόδας ἑώρακεν, συνῆκε ἐπιβουλήν αὐτῷ τινα γεγονυῖαν. καὶ δὴ καταδραμὼν ἐπὶ τὴν αὐλὴν, καὶ τοῦ σιτευομένου χοίρου τὸν ἕνα τῶν ποδῶν τῇ μαχαίρᾳ περιελὼν, καὶ τῶν τριχῶν ψιλώσας, εἰς τὴν χύτραν ἔρριψε, καὶ συνέψει τοῖς ἄλλοις. ξάνθος δὲ δείσας, μή πως αἴσωπος τὸν ὑφαιρεθέντα τῶν ποδῶν οὐχ εὑρὼν ἀποδράσῃ, αὖθις εἰς τὴν χύτραν αὐτὸν ἐνέβαλε. τοῦ δ' αἰσώπου τοὺς πόδας εἰς τὸ τρύβλιον κενώσαντος, καὶ πέντε τούτων ἀναφανέντων, ὁ ξάνθος, τί τοῦτό φησιν αἴσωπε, πῶς πέντε; κἀκεῖνος, τὼ δύω χοίρω πόσους ἔχετον πόδας; καὶ ὁ ξάνθος, ὀκτώ. καὶ ὁ αἴσωπος, εἰσὶν οὖν ἐνταυθοῖ πέντε καὶ ὁ σιτευόμενος χοῖρος νέμεται κάτω τρίπους. καὶ ὁ ξάνθος πάνυ βαρέως ἔχων, πρὸς τοὺς φίλους φησί. οὐχὶ μικρῷ πρόσθεν εἶπον ὡς τάχιστά με πρὸς μανίαν οὗτος δὴ περιτρέψει; καὶ ὁ αἴσωπος, δέσποτα, οὐκ οἶσθ' ὅτι τὸ ἐκ προ-

θέσεώς τε καὶ ἀφαιρέσεως εἰς τὸ κατὰ λόγον ποσὸν συγ-
κεφαλαιούμενον, οὐκ ἔστιν ἁμάρτημα; ὁ μὲν οὖν ξάν-
θος μηδεμίαν αἰτίαν εὐπρόσωπον εὑρηκὼς μαστι-
γῶσαι τὸν αἴσωπον, ἡσύχασε. τῇ δ' ὑστεραίᾳ τῶν σχο-
λαστικῶν τις πολυτελὲς εὐτρεπίσας δεῖπνον, σὺν ἄλ-
λοις σχολαστικοῖς, καὶ τὸν ξάνθον κέκληκεν. εὐωχουμένων
γοῦν, ὁ ξάνθος μερίδας ἐκ τῶν παρακειμένων ἀνελό-
μενος ἐπιλέκτους, καὶ τῷ αἰσώπῳ ὄπισθεν ἐφεστῶτι
δοὺς, τῇ εὐνοούσῃ μοι φησὶ πρὸς αὐτὸν ταῦτα ἐπίδος
ἀπελθών. ὁ δ' ἀπιὼν, καθ' ἑαυτὸν ἐνενόει, νῦν καιρὸς τί-
σασθαί μου τὴν δέσποιναν, ἀνθ' ὧν με ἡνίκα νεώνητος
ἦλθον ἔσκωπτεν. ὄψεται γοῦν εἰ τῷ δεσπότῃ μου εὐνοεῖ.
ἀφικόμενος οὖν εἰς τὴν οἰκίαν, καὶ καθίσας ἐν τῷ
προδόμῳ, καὶ τὴν δέσποιναν ἐκκαλέσας, τὴν σπυρί-
δα τῶν μερίδων ἐπίπροσθεν αὐτῆς τέθεικε. καὶ φησὶ,
δέσποινα, ταῦτα πάντα ὁ δεσπότης πέπομφεν οὐ σοὶ,
ἀλλὰ τῇ εὐνοούσῃ. καὶ τὴν κύνα καλέσας, καὶ εἰπὼν ἐλ-
θὲ λύκαινα, φάγε, σοὶ γὰρ ὁ δεσπότης ταῦτα ἐπέτα-
ξεν δοθῆναι, ἀνὰ μέρος τῇ κυνὶ πάντα παρέβαλε. μετὰ
δὲ τοῦτο πρὸς τὸν δεσπότην πάλιν ἐλθὼν, καὶ ἐρω-
τηθεὶς εἰ τῇ εὐνοούσῃ δέδωκε πάντα, πάντα φησί. καὶ
ἐνώπιον ἐμοῦ πάντα κατέφαγε. τοῦ δὲ ἐπανερομένου καὶ
τί ποτε ἄρα ἐσθίουσα ἔλεγεν; ἐκεῖνος, ἐμοὶ μὲν φησὶν
οὐδοτιοῦν εἴρηκε. καθ' ἑαυτὴν δέ σοι χάριτας ᾔδει. ἡ
μέντοι γυνὴ τοῦ ξάνθου συμφορὰν τὸ πρᾶγμα ποιησαμέ-
νη, ἅτε δὴ δευτέρα μετὰ κυνὸς ἐλεγχθεῖσα τῇ πρὸς τὸν
ἄνδρα εὐνοίᾳ, καὶ ἐπομοῦσα ἢ μὴν μηκέτι τοῦ λοιποῦ συνοι-
κήσειν αὐτῷ, εἴσω παρελθοῦσα τοῦ κοιτῶνος ἐθρήνει. τοῦ δὲ
πότου προκόπτοντος, καὶ ζητημάτων πρὸς ἀλλήλους


προτεινο-

προτανομένων, καὶ ἑνὸς αὐτῶν ἀπορήσαντος πηνίκα ἂν
γένοιτο μεγάλη ἐν ἀνθρώποις ταραχή, αἴσωπος ὄπισθεν
ἑστὼς εἶπεν, ἡνίκα ἂν οἱ νεκροὶ ἀνιστάμενοι, τὰ ἑαυτῶν
ἀπαιτήσωσι κτήματα. καὶ οἱ σχολαστικοὶ γελάσαν-
τες ἔφασαν, νοήμων ἐστὶν ὁ νεώνητος. ἑτέρου δὲ πάλιν
προθέντος, ὅτου χάριν τὸ μὲν πρόβατον ἐπὶ σφαγὴν
ἑλκόμενον οὐ βοᾷ. ὁ δὲ χοῖρος ὅτι μάλιστα κράζει, αἴ-
σωπος αὖθις ἔφη, ὅτι τὸ μὲν πρόβατον κατὰ τὸ εἰωθὸς
ἀμελγόμενον, ἢ τὸ τοῦ πόκου βάρος ἀποτιθέμενον,
σιγῇ ἕπεται. διὸ καὶ ὑποσκελιζόμενον καὶ τὸν σίδη-
ρον ὁρῶν, οὐδὲν δεινὸν ὑποπτεύει, ἀλλ' ἐκεῖνα τὰ συνήθη
καὶ μόνα δοκεῖ πείσεσθαι. ὁ δὲ χοῖρος ἅτε δὴ μήτ' ἀμελ-
γόμενος, μήτε κειρόμενος, μὴ δὲ συνειδὼς ἑαυτῷ πρός
τι τῶν τοιούτων ἑλκόμενος, ἀλλ' ὅτι τῶν σαρκῶν αὐτοῦ
μόνον ἐστὶ χρεία, εἰκότως βοᾷ. τούτων οὕτω ῥηθέντων,
οἱ σχολαστικοὶ πάλιν ἐπῄνεσαν αὐτὸν, τραπέντες εἰς γέ-
λωτα. παυσαμένου μέντοι τοῦ πότου, καὶ τοῦ ξάνθου
πρὸς τὴν οἰκίαν ἀπονοστήσαντος, καὶ τῇ γυναικὶ συνή-
θως ὁρμήσαντος πρὸς λαλεῖν, ἐκείνη τοῦτον ἀποστραφεῖ-
σα, φησὶ μή μου πλησίον γένῃ. δός μοι τὴν προῖ-
κά μου, καὶ ἀπελεύσομαι. οὐδὲν γὰρ ἂν μείναιμι σὺν
σοὶ τοὐντεῦθεν. σὺ δ' ἀπελθὼν τὴν κύνα κολάκευε, ᾗ
πέπομφας τὰς μερίδας. καὶ ὁ ξάνθος ἐκπλαγεὶς λέ-
γει, οὐκ ἔστιν ὅπως οὐκ ἤρτυσέ μοί τι κακὸν πάλιν αἴ-
σωπος. καὶ πρὸς τὴν γυναῖκά φησι, κυρία, ἐμοῦ πεπω-
κότος σὺ μεθύεις; τίνι τὰς μερίδας πέπομφα, οὐχὶ
σοί; μὰ δί', ἐμοὶ μὲν οὔ φησιν ἐκείνη, τῇ δὲ κυνί. καὶ
ὁ ξάνθος τῷ αἰσώπῳ κληθέντι φησί, τίνι δέδωκας
τὰς μερίδας; κἀκεῖνος τῇ εὐνοούσῃ σοί. καὶ πρὸς τὴν γυναῖ-

κα ὁ ξάνθος, οὐδὲν ἔλαβες; κἀκείνη οὐδὲν, καὶ ὁ αἴ-
σωπος, τίνι γὰρ ἐκέλευσας δέσποτα τὰς μερίδας δο-
θῆναι; κἀκεῖνος. τῇ εὐνοούσῃ μοι. καὶ ὁ αἴσωπος τὴν κύνα
φωνήσας, αὕτη σοι φησὶν εὐνοεῖ. ἡ γὰρ γυνὴ κἂν εὐ-
νοεῖν λέγηται, ἀλλ᾽ ἐπ᾽ ἐλαχίστῳ ἀλγήσασα, ἀντιλέ-
γει, λοιδορεῖται, ἀναχωρεῖ. τὴν μέντοι κύνα, τύψον,
ἀπέλασον, καὶ οὐκ ἀναχωρήσειεν ἄν, ἀλλ᾽ ἐπιλαθομέ-
νη πάντων αὐτίκα φιλοφρόνως σαίνει καὶ σὺν χάριτι
τὸν δεσπότην. ἔδει σε οὖν εἰπεῖν δέσποτα, τῇ γυναι-
κὶ τὰς μερίδας κόμισον. καὶ μὴ τῇ εὐνοούσῃ. καὶ ὁ ξάν-
θος, ὁρᾷς κυρία ὡς οὐκ ἐμὸν τὸ ἁμάρτημα, ἀλλὰ τοῦ
κομίσαντος; ἀνάσχου τοιγαροῦν, καὶ οὐκ ἀπορήσω προ-
φάσεως, δι᾽ ἣν αὐτὸν μαστιγώσω. τῆς δὲ μὴ πειθομένης,
ἀλλὰ λάθρα πρὸς τοὺς ἑαυτῆς γονέας ἀποχωρησάσης,
αἴσωπος εἶπεν, οὐκ ὀρθῶς εἶπον ὦ δέσποτα, ὡς ἡ κύ-
ων σοι μᾶλλον εὐνοεῖ, καὶ οὐχ ἡ ἐμὴ δέσποινα; ἡμερῶν
δέ τινων παρῳχηκυιῶν, καὶ τῆς γυναικὸς ἀδιαλλάκτου
μενούσης, καὶ τοῦ ξάνθου τῶν προσηκόντων τινὰς ὡς αὐτὴν,
ὡς ἂν ὑποστρέψειεν οἴκαδε πέμψαντος, τῆς δὲ μὴ ὑπεί-
κειν θελούσης, καὶ τοῦ ξάνθου δι᾽ αὐτὴν εἰς ἀθυμίαν πεσόν-
τος, αἴσωπος προσελθὼν αὐτῷ φησί, μὴ ἀνιῶ δέσπο-
τα. ἐγὼ γὰρ αὐτὴν αὔριον ἥκειν αὐθαίρετον, καὶ ἀπαράλλακ-
τον δράσω πρὸς σέ. καὶ λαβὼν κέρμα, πρὸς τὴν ἀγορὰν
ἦλθεν. καὶ ὠνησάμενος χῆνας καὶ ὄρνιθας, καὶ ἄλλ᾽ ἄττα
τῶν πρὸς εὐωχίαν ἐπιτηδείων. βαδίζων τὰς οἰκίας περι-
ενόστει. παρήει τοίνυν καὶ τὴν τῶν τῆς αὐτοῦ δεσποίνης γεν-
νητόρων οἰκίαν, μή τε ταύτην εἰδέναι προσποιούμενος
ἐκείνων τυγχάνουσαν. μή τε μὴν ἐν αὐτῇ τὴν δέσποι-
ναν μένουσαν. καὶ δή τινι τῶν τῆς οἰκίας ἐκείνης ἐντυχὼν

ἐρώτα

ἠρώτα εἴ τι πρὸ τῶν εἰς γάμους χρησίμων οἱ περὶ τὴν οἰκίαν ἔχοιεν αὐτῷ πωλῆσαι. τοῦ δὲ, καὶ τίς τούτων ἔχει τὴν χρείαν πυθομένου, ξάνθος φησὶν ὁ φιλόσοφος, αὔριον γὰρ γυναικὶ μέλλει συνάπτεσθαι. τοῦ δὲ ἀναβάντος, καὶ τῇ γυναικὶ ταῦτα τοῦ ξάνθου ὡς ἤκουσεν ἀναγγείλαντος, ἐκείνη σὺν δρόμῳ, καὶ σπουδῇ πρὸς τὸν ξάνθον ἦλθεν αὐτίκα. καὶ αὐτοῦ κατεβόα λέγουσα πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, ὡς οὐκ ἂν ἐμοῦ ζώσης ὦ ξάνθε ἑτέρᾳ γυναικὶ δυνηθήσῃ συναρμοσθῆναι. καὶ οὕτως ἔμεινεν ἐπὶ τῆς οἰκίας διὰ αἰσώπου, ὡς καὶ δι' ἐκεῖνον ἀπῆγε. μετὰ δ' ἡμέρας πάλιν τινὰς, καλέσας ὁ ξάνθος σχολαστικοὺς εἰς ἄριστον, τῷ αἰσώπῳ φησὶν, ὀψώνησον ἀπελθὼν πᾶν ὅ,τι χρηστότατόν τε καὶ βέλτιστον. ὁ δὲ ἀπιὼν, καθ' ἑαυτὸν ἔλεγεν, ἐγὼ διδάξω τὸν δεσπότην μὴ μωρὰ διατάττεσθαι. γλώττας οὖν μόνας ὑείους πριάμενος καὶ ἑτοιμάσας, ἀνακλινθεῖσι, γλῶτταν ὀπτὴν ἑκάστῳ σὺν ὀξυγάρῳ παρέθηκε. τῶν δὲ σχολαστικῶν ἐπαινεσάντων ὡς φιλόσοφον τὸ πρῶτον ἔδεσμα, διὰ τὴν τῆς γλώττης πρὸς τὸν λόγον ὑπηρεσίαν, πάλιν αἴσωπος ἑφθὰς γλώττας παρέθηκε. καὶ αὖθις αὖ βρώματος αἰτηθέντος ἄλλου καὶ ἄλλου, ὁ δ' οὐδὲν ἕτερον ὅτι μὴ γλώττας προὐτίθει. τῶν δὲ σχολαστικῶν ἐπὶ τῷ ταυτῷ τῆς τροφῆς ἀγανακτησάντων, μέχρι τίνος γλώττας εἰπόντων, καὶ ὡς ἡμεῖς δι' ἡμέρας γλώττας ἐσθίοντες τὰς ἡμετέρας ἠλγήσαμεν, ὁ ξάνθος φησὶ πρὸς ὀργὴν, οὐδέν σοι πάρεστιν ἕτερον αἴσωπε; καὶ ὃς, οὐ δῆτα. κἀκεῖνος, οὔκουν ἐνετειλάμην σοι κατάρατον ἀνθρώπιον πᾶν ὅ,τι χρηστότατόν τε καὶ ἄριστον ὀψωνῆσαι; καὶ ὁ αἴσωπος, πολλὰς ὁμολογῶ σοι τὰς χάριτας μεμφομένῳ με φιλο-



σοφῶν ἀνδρῶν παρόντων. τί ἂν οὖν γένοιτο γλώττης κρεῖττόν τι καὶ βέλτιον ἐν τῷ βίῳ; πᾶσα γὰρ παιδεία καὶ φιλοσοφία, δι' αὐτῆς παιδεύεται καὶ διδάσκεται, δι' αὐτῆς δόσεις. λήψεις. ἀγοραί, ἀσπασμοί. εὐφημίαι. μοῦσαι πᾶσαι. δι' αὐτῆς γὰρ συγκροτοῦνται γάμοι. πόλεις ἀνορθοῦνται. ἄνθρωποι διασώζονται. καὶ συνελόντι φάναι, δι' αὐτῆς ἅπας ὁ βίος ἡμῶν συνέστηκεν. οὐδὲν ἄρα τῆς γλώττης ἄμεινον. ἐπὶ τούτοις οἱ σχολασικοὶ τὸν μὲν αἴσωπον ὀρθῶς λέγειν ἔφασαν, ἡμαρτηκέναι δὲ τὸν διδάσκαλον, διεληλύθασιν ἕκαστος ἐπ' οἴκου. τῇ δ' ὑστεραίᾳ πάλιν αἰτιωμένων αὐτῶν τὸν ξάνθον, ἐκεῖνος ἀπολογεῖται μὴ κατὰ γνώμην αὐτοῦ ταῦτα γεγονέναι, ἀλλὰ τῷ ἀχρείῳ δούλου τῇ κακουργίᾳ. σήμερον δὲ διαμείψει τὸ δεῖπνον. κἀγὼ ἢ παρόντων ὑμῶν αὐτῷ διαλέξομαι. καὶ καλέσας αὐτόν, πᾶν ὅ,τι φαυλότατόν τε καὶ χείριστον ὀψωνῆσαι κελεύει, ὡς τῶν σχολασικῶν σὺν αὐτῷ δειπνησόντων. ὁ δέ, μηδὲν διατραπείς, πάλιν γλώσσας ἐπρίατο. καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι παρέθηκεν. οἱ δέ, πρὸς ἀλλήλους ὑπεφώνουν, χοίρεαι πάλιν γλῶσσαι. καὶ μετὰ μικρὸν αὖθις γλώττας παρέθηκε. καὶ μάλα αὖθις καὶ αὖθις. τοῦ ξάνθου δὲ δυσαναχετήσαντος, καὶ τί τοῦτο αἴσωπε εἰρηκότος, μὴ πάλιν ἐνετειλάμην σοι πᾶν ὅ, τι χρησότατόν τι καὶ βέλτισον ὀψωνῆσαι, οὐχὶ πᾶν ὅ,τι φαυλότατόν τε καὶ χείριστον; ὁ δέ, καὶ τί ποτε χεῖρον τῆς γλώττης ὦ δέσποτα. οὐ πόλεις δι' αὐτῆς καταπίπτουσιν; οὐκ ἄνθρωποι δι' αὐτῆς ἀναιροῦνται; οὐ ψεύδη πάντα καὶ βλασφημίαι καὶ ἐπιορκίαι διὰ ταύτης περαίνονται; οὐ γάμοι καὶ ἀρχαὶ καὶ βασίλειαι δι' αὐτῆς ἀνατρέπονται;

οὐχ

οὐχ ὡς κεφάλαιον εἰπεῖν, ὁ βίος δι' αὐτῆς ἅπας μυρίων πλημμελημάτων γέμει; ταῦτα τοῦ αἰσώπου φαμένου, τῶν τις συνανακειμένων τῷ ξάνθῳ φησίν. οὗτος εἰ μὴ πάνυ σεαυτὸν ἀσφαλίσῃ, οὐκ ἂν ἄπορος εἴη μανίας ἀφορμή σοι γενέσθαι. οἷα γὰρ ἡ μορφή, τοιάδε καὶ ἡ ψυχή. ὁ δ' αἴσωπος πρὸς αὐτόν, σύ μοι δοκεῖς ἄνθρωπε κακεντρεχής τις καὶ περίεργος εἶναι, δεσπότην προξενῶν κατὰ οἰκέτου. καὶ ὁ ξάνθος πρὸς ταῦτα, προφάσεως ἐφιέμενος μαστιγῶσαι τὸν ἄνθρωπον, δραπέτα φησίν, ἐπεὶ περίεργον εἶπας τὸν φίλον, δεῖξόν μοι ἀπερίεργον ἄνθρωπον ἀγαγών. ἐξελθὼν τοίνυν τῆς ἐπιούσης ἐπὶ τῆς λεωφόρου ὁ αἴσωπος, καὶ τοὺς παριόντας περισκοπῶν, ὁρᾷ τινα ἐφ' ἑνὸς τόπου εἰκαῖον χρόνον καθίσαντα, ὃν καὶ δοκιμάσας καθ' αὐτὸν ἀπράγμονά τινα καὶ ἁπλοῦν εἶναι, προσελθὼν φησίν, ὁ δεσπότης σε καλεῖ σὺν αὐτῷ ἀριστῆσαι. καὶ ὁ ἄγροικος ἐκεῖνος μηδὲν περιεργασάμενος, μή τε τίς ὢν ὑπὸ τίνος καλεῖται, εἰσῆλθεν εἰς τὴν οἰκίαν. καὶ σὺν αὐτοῖς ὑποδήμασι φαύλοις οὖσιν ἀνέπεσεν. ἐρομένου δὲ τοῦ ξάνθου τίς οὗτος, αἴσωπος εἶπεν, ἀπερίεργος ἄνθρωπος. καὶ ὁ ξάνθος εἰς οὖς εἰπὼν τῇ γυναικὶ συνυποκριθῆναι αὐτῷ, καὶ ὅπερ ἂν αὐτὸς ἐπιτάττῃ, ποιεῖν, ὡς ἂν εὐπροσώπῳ λόγῳ πληγὰς τῷ αἰσώπῳ ἐντείνειεν. εἶτα ἐν ἐπηκόῳ πάντων φησί, κυρία, ὕδωρ ἐπὶ τῆς λεκάνης βαλοῦσα, τοὺς πόδας τοῦ ξένου νίψον. διενοεῖτο γὰρ καθ' αὐτόν, ὡς πάντως ὁ μὲν ξένος εὐλαβηθήσεται, ὁ δ' αἴσωπος ὡς ἐκείνου περιέργου φανέντος, πληγὰς λήψεται. ἡ μὲν οὖν βαλοῦσα τὸ ὕδωρ εἰς τὴν λεκάνην, ᾔει τοὺς πόδας τοῦ ξένου νίψουσα. ὁ δὲ

γνοὺς ταύτην οὖσαν τὴν τοῦ οἴκου δεσπότιν, καθ᾽ ἑαυτὸν εἶπε. τιμῆσαί με πάντως βούλεται. καὶ τούτου δὲ χάριν αὐτοχειρία τοὺς πόδας μου βούλεται νίψαι. ἐπεὶ θεραπαινίσιν εἶχεν ἂν τοῦτ᾽ ἐπιτάξαι. προτείνας οὖν τοὺς πόδας, νίψον κυρία φησί. καὶ νιψάμενος ἀνεκλίθη. τοῦ δὲ ξάνθου κελεύσαντος οἶνον τῷ ξένῳ δοθῆναι πιεῖν, πάλιν ἐκεῖνος διελογίσατο καθ᾽ αὑτὸν ὡς αὐτοὺς μὲν τὸ πρότερον ἔδει πιεῖν, ἐπεὶ δ᾽ οὕτως αὐτοῖς ἔδοξεν, οὐδὲν ἔργον ἐμοὶ τὰ τοιαῦτα ἐρευνᾶν. καὶ λαβὼν ἔπιεν. ἀριστούντων δὲ, καί τινος ἐδέσματος τῷ ξένῳ παρατεθέντος, κἀκείνου ἡδέως ἐσθίοντος, ὁ ξάνθος τῷ μαγείρῳ ὡς κακῶς τοῦτο ἀρτύσαντι ἐνεκάλει. καὶ μέντοι καὶ ἀποδυθέντι πληγὰς ἐνεφόρει. ὁ δ᾽ ἀγρότης καθ᾽ αὑτὸν ἔλεγε, τὸ μὲν ἔδεσμα, ἄριστα ἕψηται, καὶ οὐδενὸς αὐτῷ δεῖ πρὸς τὸ καλῶς ἔχειν. εἰ δὲ τὸν δίχα προφάσεως βούλεται τὸν αὑτοῦ δοῦλον μαστιγοῦν ὁ οἰκοδεσπότης, τί πρὸς ἐμέ; τοῦ δὲ ξάνθου ἀγανακτοῦντος καὶ οὐχ ἡδέως διακειμένου, ἐπεὶ μηδὲν ὁ ξένος περιειργάζετο, τέλος πλακοῦντες ἠνέχθησαν. ὁ δὲ ξένος ἅτε δὴ μήπω πλακοῦντος γευσάμενος, σωρεύων καὶ συνελῶν αὐτοὺς ὡς ψωμοὺς ἤσθιε. τοῦ δὲ ξάνθου τὸν ἀρτοποιὸν αἰτιασαμένου, καὶ τί δή ποτε ὦ κατάρατε φαμένου καὶ μέλιτος δίχα καὶ πεπέρεως τοὺς πλακοῦντας ἐσκεύασας; ἐκεῖνος ἔφη, εἰ μὲν ὠμός ἐστιν ὦ δέσποτα ὁ πλακοῦς, ἐμὲ τύπτε. εἰ δ᾽ οὐχ ὡς ἔδει ἐσκεύασται, μὴ ἐμὲ, ἀλλὰ τὴν δέσποιναν αἰτιῶ. καὶ ὁ ξάνθος, εἰ πρὸς σοῦ ἐμοῦ τοῦτο γέγονε γυναικὸς, ζῶσαν αὐτὴν ἀρτίως κατακαύσω. καὶ πάλιν τῇ γυναικὶ νεύει αὐτῷ συνυποκριθῆναι δι᾽ αἴσωπον κελεύ-

σας

σας οὖν κληματίδας εἰς τὸ μέσον ἀχθῆναι, πυρὰν ἀνῆψε. καὶ λαβόμενος τῆς γυναικὸς, ἐγγὺς τῆς πυρᾶς ἤγαγε, προσδοκήσιμος ὢν αὐτὴν εἰς τὸ πῦρ ἐπαφεῖναι, διέτριβε δέ πως καὶ περιεβλέπετο τὸν ἄγροικον, εἴπως ἀναστὰς τῷ τοιῷδε τολμήματι εἶρξαι αὐτὸν ἐχειρήσαιεν. ὁ δὲ, καθ' αὑτὸν αὖθις διεσκοπεῖτο, ὡς αἰτίας μὴ παρούσης, τί δή ποτε οὕτως ὀργίζεται. εἶτά φησὶν οἰκοδέσποτα, εἰ τοῦτο κέκρικας δεῖν γενέσθαι, ὑπόμεινόν με μικρὸν μέχρις ἂν ἀπελθὼν ἐνέγκω μου καὶ αὐτὸς ἐξ ἀγροῦ τὴν γυναῖκα, ὡς ἂν ἄμφω μετὰ τοῦ αὐτοῦ κατακαύσῃς. ταῦτα τοῦ ἀνδρὸς ὁ ξάνθος ἀκούσας, καὶ τὸ τούτου ἀκέραιον καὶ γενναῖον θαυμάσας, τῷ αἰσώπῳ φησὶν, ἴδε ἀληθῶς ἄνθρωπος ἀπερίεργος. ἔχεις τὰ νικητήρια λαβὼν αἴσωπε. ἄλις ἔχει σοι τοῦ λοιποῦ. τὸ δ' ἐντεῦθεν, ἐλευθερίας τῆς σῆς ἐπιτεύξῃ. τῆς δ' ἐπιούσης ὁ ξάνθος ἐπέταξε τῷ αἰσώπῳ εἰς τὸ βαλανεῖον ἀπελθεῖν καὶ σκέψασθαι, εἰ μὴ πολὺς πάρεστιν ὄχλος. βούλεσθαι γὰρ αὐτὸν λούσασθαι. ἀπιόντι δὲ, ὁ στρατηγὸς συναντήσας, καὶ τοῦ ξάνθου γνοὺς αὐτὸν ὄντα, ἤρετο ποῖ πορεύοιτο. τοῦ δὲ, οὐκ οἶδα φαμένου, νομίσας ὁ στρατηγὸς τὴν ἐρώτησιν αὐτοῦ παρ' οὐδὲν λογισθῆναι, εἰς εἱρκτὴν αὐτὸν ἀπαχθῆναι κελεύει. ἀπαγόμενος τοίνυν ὁ αἴσωπος ἔκραξεν, ὁρᾷς ὦ στρατηγὲ, ὅπως ὀρθῶς ἀπεκρίθην; ἃ γὰρ μὴ προσεδόκησα, καὶ συνήντησά σοι, καὶ εἰς εἱρκτὴν ἤδη ἀπάγομαι. καὶ ὁ στρατηγὸς ἐκπλαγεὶς ἐπὶ τῷ τῆς ἀπολογίας ἑτοίμῳ, ἀφῆκεν ἀπιέναι. αἴσωπος δὲ παραγενόμενος εἰς τὸ βαλανεῖον, καὶ πλῆθος ἐν αὐτῷ θεασάμενος ὄχλου, καὶ λίθον ὁρᾷ μετὰ τὴν τῆς εἰσόδου μεσαίτα

τὸν κείμενον, ἐφ' ὃν ἕκαστος τῶν εἰσιόντων τε καὶ ἐξιόντων, τὸν πόδα προσέπταιε. τοῦτον δὲ εἷς τις εἰσιὼν ἐν φῶ λύσασθαι, ἄρας μετέθηκεν. ὑποστρέψας οὖν πρὸς τὸν δεσπότην, εἰ κελεύεις φησὶ δέσποτα λύσασθαι, ἕνα ἄνθρωπον ἐν τῷ βαλανείῳ τεθέαμαι. καὶ τοῦ ξάνθου ἐλθόντος, καὶ τὸ πλῆθος τῶν λουομένων ἰδόντος, καὶ τί τοῦτ' εἰπόντος αἴσωπε, οὐχ ἕνα ἄνθρωπον ἔφης ἑωρακέναι; ὁ αἴσωπος, ναί φησίν. τὸν γὰρ λίθον ἐκεῖνον (τῇ χειρὶ δείξας,) πρὸ τῆς εἰσόδου κείμενον εὗρον, ἐφ' ὃν οἱ εἰσιόντες πάντες καὶ ἐξιόντες προσέπταιον. εἷς δέ τις πρὶν ἢ προσπταῖσαι, ἄρας μετέθηκεν. ἐκεῖνον οὖν ἕνα ἄνθρωπον εἶπον ἑωρακέναι, προτιμήσας τῶν ἄλλων. ὁ ξάνθος, οὐδὲν παρὰ τῷ αἰσώπῳ ἀργὸν εἰς ἀπολογίαν. ἄλλο τέ ποτε τοῦ ξάνθου δὲ ἀφεδρεύειν ἐπανιόντος, καὶ πυνθανομένου τὸν αἴσωπον, τί δή ποτε οἱ ἄνθρωποι μετ' ἀποπατεῖν τὰ τῆς γαστρὸς ἐκκρίματα, βλέπουσιν, ἐκεῖνος ἔφη. κατὰ τοὺς παλαιοὺς χρόνους ἀνήρ τις τῶν τρυφερωτέρων ζώντων, πολλὼ χρόνον ὑπὸ σπατάλης ἐν ἀφόδῳ ἐκάθητο, ὡς καὶ τὰς οἰκείας ἐκεῖ διατρίβων, ἀποπατῆσαι φρένας. δὲ ἐκείνου τοίνυν δεδοικότες οἱ λοιποὶ τῶν ἀνθρώπων, πρὸς τὰ τῆς γαστρὸς ἀφορῶσι λύματα, μή πως καὶ αὐτοὶ τοῦτο πεπόνθασιν. ἀλλά σοι δέσποτα, μὴ φοβοῦ. οὐ γὰρ ἔχεις φρένας. ἐν ἡμέρᾳ δέ τινι συμποσίου συγκροτηθέντος, καὶ τοῦ ξάνθου σὺν τοῖς ἄλλοις τῶν φιλοσόφων ἀνακλιθέντος, καὶ τοῦ πότου ἤδη ἐπικρατήσαντος, συχνὰ προβλήματα μεταξὺ τούτων ἐκαλινδεῖτο. καὶ τοῦ ξάνθου ἀρξαμένου ταράττεσθαι, αἴσωπος παρεστὼς ἔφη, δέσποτα ὁ διόνυσος τρεῖς κέκτηται κράσεις. τὴν μὲν πρώτην ἡδονῆς. τὴν δὲ δευτέραν,

τὴν δευτέραν, μέθης. τὴν δὲ τρίτην, ὕβρεως. καὶ ὑμεῖς οὖν πεπωκότες ἤδη καὶ ἡσθέντες, τὰ ἐφεξῆς καταλίπετε. καὶ ὁ ξάνθος, ἤδη μεθύων φησὶ σιώπα. τίς ἐν ᾅδη συμβούλευε. καὶ ὁ αἴσωπος οὐκοῦν καὶ εἰς ᾅδου καταστραφήσῃ. τῶν δὲ σχολαστικῶν τὶς ὑποβεβρεγμένον ἤδη τῇ μέθῃ τὸν ξάνθον ἰδὼν, καὶ ὅλον εἰπεῖν οἰνοπλῆγα, καθηγητά φησί, δύναταί τὶς ἐκπιεῖν τὴν θάλατταν ἄνθρωπος; καὶ ὅς, πάνυ μὲν οὖν. ἐγὼ γὰρ αὐτὸς ταύτην ἐκπίομαι. καὶ ὁ σχολαστικός, εἰ δ' οὐ δυνήσῃ, τί ποτέ σοι τίμημα ἐπιγράψω; ὁ δὲ ὁ ξάνθος, τὴν οἰκίαν μου τίθημι πᾶσαν. καὶ ἐπὶ τούτοις καταθέμενοι τοὺς δακτυλίους, τὰς συνθήκας ἐκύρωσαν. τότε μὲν οὖν διελύθησαν. τῇ δ' ὑστεραίᾳ πρωΐας διεγερθέντος τοῦ ξάνθου, καὶ τὴν τε ὄψιν νιψαμένου, καὶ τὸν δακτύλιον ἐν τῷ νίπτεσθαι μὴ ἰδόντος, ὁ δὲ τὸν αἴσωπον περὶ αὐτοῦ πυθομένου, ἐκεῖνος οὐκ οἶδα φησὶ τί ποτε γέγονεν. ἓν δ' οἶδα μόνον, ὅτι τῆς οἰκίας σαυτοῦ ἀλλότριος γέγονας. καὶ ὁ ξάνθος, ὅτι τί δή; καὶ ὁ αἴσωπος, ὅτι τὸ χθὲς μεθύων, συνέθου τὴν θάλατταν ἐκπιεῖν. κἀπὶ ταῖς ὁμολογίαις κατέθου καὶ τὸν δακτύλιον. κἀκεῖνος, καὶ πῶς ἄρ' ἐγὼ μείζον πίστεως ἔργον δυνήσομαι. ἀλλὰ σοῦ νῦν δέομαι, εἴ τις σύνεσις, εἴ τις δεινότης καὶ ἐμπειρία, ξυμπαρίστα σοι καὶ βοήθειαν ὄρεγε, ὡς περιγενέσθαι, ἢ τάς γε συνθήκας λῦσαι. καὶ ὁ αἴσωπος, περιγενέσθαι μὲν οὐκ ἔνι, λυθῆναι δὲ τὰς ὁμολογίας ποιήσω. ἐπειδὰν γὰρ αὖθις τήμερον εἰς ταὐτὸ συνέλθητε, μηδ' ὁτιοῦν φανῇς δεδιάσας. ἀλλ' ἅπερ ὡμολόγησας παροινῶν, ταῦτα καὶ νήφων λέγε. κέλευσον μέντοι στρώματα καὶ τράπεζαν

ζαν πρὸ τὴν κιόνα τεθῆναι, καὶ παῖδας ἑτοίμους σὺν ἐκπώμασιν ὀρέγειν σοι τὸ θαλάττιον ὕδωρ. ἐπειδὰν δὲ σύμπαντα θεάσῃ τὸν ὄχλον συνδεδραμηκότα ἐπὶ τὴν θέαν, αὐτὸς ἀναπεσὼν, κέλευσον ἐκ τῆς θαλάττης πληρωθῆναι τὸ ἔκπωμα. καὶ τοῦτο λαβὼν ἐν ἐπηκόῳ πάντων, εἰπὲ πρὸς συνθηκοφύλακι, τίνας παρ' ὑμῖν πεποιήκαμεν τὰς συνθήκας. καὶ ὃς ἀποκρινεῖταί σοι, ὡς ὡμολόγησας τὴν θάλασσαν ἐκπιεῖν. στραφεὶς οὖν σὺ πρὸς ἅπαντας, οὕτω φράσον. ἄνδρες σάμιοι, ἴσαι καὶ ὑμεῖς πάντως πλείστους ὅσους ποταμοὺς ἐκβάλλοντας εἰς τὴν θάλασσαν. ἐγὼ δὲ συνεθέμην μόνην τὴν θάλατταν ἐκπιεῖν, οὐ μὴν καὶ τοὺς εἰσιόντας εἰς αὐτὴν ποταμούς. οὗτος οὖν ὁ σχολαστικὸς ἀπελθὼν πρότερον, ἐπισχέτω τοὺς ποταμοὺς ἅπαντας. εἶτα δ' εὐθὺς ἐγὼ τὴν θάλατταν μόνην ἐκπίομαι. ὁ δὲ ξάνθος τὴν μέλλουσαν ἐκ τούτου τῆς συνθήκης διάλυσιν ἔσεσθαι γνοὺς, ὑπερήσθη. τοῦ δήμου τοίνυν παρὰ τὸν αἰγιαλὸν συῤῥεύσαντος ἐπὶ θέαν τοῦ πραχθήσεσθαι μέλλοντος, καὶ τοῦ ξάνθου κατὰ τὰ διδαχθέντα πρὸς τοῦ αἰσώπου δράσαντος καὶ εἰπόντος, οἱ σάμιοι ἀνεβόησαν εὐφημοῦντες αὐτὸν καὶ θαυμάζοντες. ὁ δὲ σχολαστικὸς προσπεσὼν τηνικαῦτα τῷ ξάνθῳ, νενικῆσθαί τε ὡμολόγει· καὶ τὰς συνθήκας ἐδεῖτο λῦσαι, ὃ καὶ πεποίηκε ξάνθος δυσωποῦντος τοῦ δήμου. ἀφικομένων δ' αὐτῶν εἰς τὴν οἰκίαν, αἴσωπος προσελθὼν τῷ ξάνθῳ φησίν. ὁ πάντας σοι τὸν βίον χαρισάμενος, ἐγώ. οὔκουν ἄξιός εἰμι δή ποτε τυχεῖν ἐλευθερίας; καὶ ὁ ξάνθος λοιδορήσας αὐτὸν ἀπήλασε, λέγων, μὴ γὰρ οὐ βουλομένῳ μοι ἦν

τοῦτο

τοῦτο πρᾶξαι; ἀλλ' ἔξελθε πρὸ τοῦ πυλῶνος καὶ σκέψαι. κἂν ἴδῃς δύο κορώνας, ἀνάγγειλόν μοι. ἀγαθὸς γὰρ οἰωνὸς οὗτος. ἐπεὶ εἰ μίαν ἴδῃς τοῦτο πονηρόν. προσελθὼν οὖν ὁ αἴσωπος, καὶ συμβὰν οὕτω δύο κορώνας ἐπί τινος ἰδὼν δένδρου καθεζομένας, προσελθὼν τῷ ξάνθῳ ἀνήγγειλεν. ἐξιόντι δὲ τῷ ξάνθῳ, ἡ ἑτέρα τούτων ἀπέπτη. καὶ ὁ ξάνθος θατέραν μόνην ἰδὼν, ἔφη, οὐκ εἶπάς μοι κατάρατε δύο ἑωρακέναι; καὶ ὅς, οὕτως. ἀλλ' ἡ ἑτέρα ἀπέπτη. καὶ ὁ ξάνθος, ἐπέλιπέ σοι δραπέτα τὸ χλευάζειν με. καὶ κελεύει αὐτὸν γυμνωθέντα τύπτεσθαι, τοῦ δ' αἰσώπου μαστιγουμένου, προσελθών τις ἐκάλει ἐπὶ τὸ δεῖπνον τὸν ξάνθον, καὶ ὁ αἴσωπος ἔτι τυπτόμενος ἀνεβόησεν. οἴμοι τῷ δυστήνῳ. ἐγὼ μὲν γὰρ ὁ τὸ δικόρωνον ἰδὼν, τύπτομαι. σὺ δ' ὁ μίαν ἰδὼν μόνην, εἰς εὐωχίαν ἄπει. ἐωλὸς ἄρ' ἦν ἡ οἰωνοσκοπία. καὶ ὁ ξάνθος τὸ ἀγχίνουν αὐτοῦ θαυμάσας, παύσασθαι κελεύει τυπτόμενον. μετὰ δ' οὐ πολλὰς ἡμέρας φιλοσόφους καὶ ῥήτορας καλέσας ὁ ξάνθος, ἐκέλευε τῷ αἰσώπῳ πρὸ τοῦ πυλῶνος στῆναι. καὶ μηδένα τῶν ἰδιωτῶν εἰσελθεῖν συγχωρῆσαι, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους. τῇ δὲ ὥρᾳ τοῦ ἀρίστου κλείσας αἴσωπος τὸν πυλῶνα, ἔνδον ἐκαθέζετο. τῶν κεκλημένων δέ τινος ἐλθόντος, καὶ τὴν θύραν κόπτοντος, αἴσωπος ἔνδοθεν ἔφη, τί σείει ὁ κύων; ὁ δὲ, νομίσας κύων κληθῆναι, ὀργισθεὶς ἀνεχώρησεν. οὕτως οὖν ἕκαστος ἀφικνούμενος, αὖθις ἀπῄει σὺν ὀργῇ, νομίζων ὑβρίζεσθαι, τοῦ αἰσώπου ταυτὰ πάντας ἔνδοθεν ἐρωτῶντος. εἷς δ' αὐτῶν κόψαντος, καὶ τί σείει ὁ κύων ἀκούσαντος, καὶ τὴν τε κέρκον, καὶ τὰ ὦτα ἀποκριθέντος αἴσωπος

πῳ αὐτὴν ὀρθῶς δοκιμάσας ἀποκεκρίσθαι, ἀνοίξας πρὸς τὴν δεσπότην ἤγαγε, καὶ φησὶν, οὐδεὶς τῶν φιλοσόφων συνεσιᾶσθαί σοι ἦλθεν ὦ δέσποτα, πλὴν οὗτος μόνος, καὶ ὁ ξάνθος σφόδρα ἠθύμησε, προσαλελογίσθαι οἰηθεὶς ὑπὸ τῶν κληθέντων. τῇ δ' ὑστεραίας συνελθόντες οἱ κληθέντες ἐπὶ τὴν διατριβὴν, ἐνεκάλουν τῷ ξάνθῳ, φάσκοντες, ὡς ἔοικας ὦ καθηγητὰ, ἐπεθύμεις μὴ αὐτὸς ἐξυβρίσαι ἡμᾶς. αὐδήμονος δὲ, τὴν σαπρὸν ἐπὶ τῷ πυλῶνος ἔστησας αἴσωπον, ὡς προπηλακίσαι, καὶ κύνας ἡμᾶς ἀποκαλέσαι. καὶ ὁ ξάνθος, ὄναρ τοῦτ' ἐστὶν, ἢ ὕπαρ; κἀκεῖνοι, εἰ μὴ ῥέγχομεν, ὕπαρ. καὶ δὴ τάχος μεταληθεὶς αἴσωπος, καὶ ἐρωτηθεὶς σὺν ὀργῇ, τῷ χάριν τοὺς φίλους ἀτίμως ἀπέστρεψεν, ἔφη. οὐχὶ σύ μοι δέσποτα ἐνετείλω, μή τινα τῶν ἰδιωτῶν καὶ ἀμαθῶν ἀνδρῶν ἐᾶσαι πρὸς τὴν σὴν συνελθεῖν εὐωχίαν, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους; καὶ ὁ ξάνθος, καὶ τίνες οὗτοι, οὐ τῶν σοφῶν; καὶ ὁ αἴσωπος, οὐδεμίᾳ μηχανῇ. αὐτῶν καὶ γὰρ κοπτόντων τὴν θύραν, κἀμοῦ ἔνδοθεν ἐρωτῶντος, τί ποτε σείει ὁ κύων, οὐδ' ὅστισοῦν αὐτῶν συνῆκε τὸν λόγον. ἐγὼ γοῦν ὡς ἀμαθῶν πάντων φανέντων, οὐδένα τούτων εἰσήγαγον, πλὴν τὴν σοφῶς τοῦτον ἀποκριθέντα μοι. οὕτως οὖν τῷ αἰσώπου ἀπολελογημένου, ὀρθῶς ἅπαντες λέγειν αὐτὸν ἐψηφίσαντο. καὶ μεθ' ἡμέρας πάλιν τινὰς, ὁ ξάνθος ἑπομένου τῷ αἰσώπου, πρὸς τὰ μνήματα παρεγένετο, καὶ ἃ ἐν ταῖς λάρναξιν ἐπιγράμματα ἦν ἀναγινώσκων, ἑαυτὸν ἔτερπε. τῷ δ' αἰσώπου ἔν τινι τούτων ἐγκεχαραγμένα στοιχεῖα ταῦτα ἰδόντος, α. β. δ. ο. ε. θ. χ. ἐπιδείξαντός τε τῷ ξάνθῳ, καὶ ἐρομένου εἰ

ἆρα

ἄρα ταῦτα εἰδείη, ἐπιμελῶς ἐκεῖνος σκεψάμενος, οὐχ οἷός τε ἐγένετο τὴν τούτων εὑρεῖν διασάφησιν, καὶ ὡμολόγησεν ἀπορῆσαι τοῖς ὅλοις. καὶ ὁ αἴσωπος, εἰ διὰ ταύτης τῆς στήλης ὦ δέσποτα θησαυρὸν ὑποδείξω σοι, τίνι με ἀμείψῃ; καὶ ὃς θάρσει. λήψῃ γὰρ τὴν ἐλευθερίαν σου, καὶ τὸ ἥμισυ τοῦ χρυσίου. τότε ὁ αἴσωπος ἀποχωρῶν τῆς στήλης βήματα τέσσαρα, καὶ ὀρύξας, ἀνέλαβέ τε τὸν θησαυρὸν, καὶ ἤνεγκε τῷ δεσπότῃ, λέγων, δός μοι τὴν ἐπαγγελίαν, δι' ἧς εὗρες τὸν θησαυρόν. καὶ ὁ ξάνθος, οὐχ ὅσα κἀμὲ εἰδέναι, εἰ μὴ καὶ τὸν νοῦν τῶν στοιχείων μοι φράσῃς. τὸ γὰρ μαθεῖν τοῦτο, πολὺ τοῦ εὑρήματος ἐμοὶ τιμιώτερον. καὶ ὁ αἴσωπος, ὁ τὸν θησαυρὸν κατορύξας ἐνταῦθα, ὡς σοφὸς ἀνὴρ τὰ στοιχεῖα διεχάραξε ταῦτα ἃ. καὶ φησίν, α ἀποβάς. β, βήματα. δ, τέσσαρα. ο, ὀρύξας. ε, εὑρήσεις. θ, θησαυρόν. χ, χρυσίου. καὶ ὁ ξάνθος, ἐπειδήπερ οὕτως ἐπήβολος εἶ καὶ πανοῦργος, οὐ λήψῃ σὺ τὴν ἐλευθερίαν. καὶ ὁ αἴσωπος, ἀναγγελῶ δοθῆναι ὦ δέσποτα τὸ χρυσίον τῷ βασιλεῖ βυζαντίων. ἐκείνῳ γὰρ τεταμίευται. καὶ ὁ ξάνθος, πόθεν τοῦτ' οἶδα. κἀκεῖνος, ἐκ τῶν στοιχείων. τοῦτο γάρ φησιν. α, ἀπόδος. β, βασιλεῖ. δ, διονυσίῳ. ο, ὃν ε, εὗρες. θ, θησαυρόν. χ, χρυσίου. καὶ ὁ ξάνθος ἀκούσας τοῦ βασιλέως εἶναι τὸ χρυσίον, τῷ αἰσώπῳ ἔφη. λαβὼν τὸ ἥμισυ τοῦ ἑρμαίου. ἡσύχασον. κἀκεῖνος, οὐ σύ μοι νῦν τοῦτο παρέχεις, ἀλλ' ὁ χρυσίον ἐνταυθοῖ κατορύξας. καὶ ὅπως, ἄκουσον. τοῦτο γὰρ λέγει τὰ γράμματα. α, ἀνελόμενοι. β, βαδίζαντες. δ. διέλεσθε. ο, ὃν ε, εὕρετε. θ, θησαυρόν. χ, χρυσίου. καὶ ὁ ξάνθος δεῦρό φησιν

δέσποτα, σὺ τὴν δόξαν ἀποίσῃ τούτῳ χρώμενος δούλῳ. ἂν δ' ἀποτύχω, ἐμοὶ μόνῳ ἡ ἐντεῦθεν προστριβήσεται ὕβρις. πεισθεὶς οὖν ὁ ξάνθος, καὶ τῆς ὑστεραίας εἰς τὸ θέατρον ἀπαντήσας; καὶ καταστὰς εἰς τὸ μέσον, κατὰ τὰς ὑποθήκας αἰσώπου διελέχθη τοῖς συνελθοῦσιν. οἱ δ' εὐθέως ἠξίουν τὸν αἴσωπον κληθῆναι. τοῦ δ' ἀφικομένου καὶ στάντος ἐπὶ τοῦ μέσου, οἱ σάμιοι τὴν ὄψιν αὐτοῦ κατανοήσαντες, ἐπεγελοῦντες, ἐφώνουν, αὕτη ἡ ὄψις σημεῖον λύσει; ἐκ τοῦ αἰσχροῦ τούτου τί ποτε καλὸν ἀκουσόμεθα; καὶ γελᾶν ἤρξαντο. καὶ ὁ αἴσωπος κατασείσας τῇ χειρί, καὶ ἡσυχίαν αἰτήσας γενέσθαι, φησίν. ἄνδρες σάμιοι, τί μου τὴν ὄψιν σκώπτετε. οὐκ εἰς τὴν ὄψιν, ἀλλ' εἰς τὸν νοῦν ἀποβλέπειν χρή. πολλάκις γὰρ καὶ τῇ φαύλῃ μορφῇ χρηστὸν νοῦν ἡ φύσις ἐνέθηκεν. ἢ τὴν ἔξωθεν τῶν κεραμίων μορφὴν σκοπεῖτε ὑμεῖς, ἀλλ' οὐ τὴν ἐντὸς γεῦσιν τοῦ οἴνου; ταῦτα τοῦ αἰσώπου πάντες ἀκούσαντες, ἔλεγον. αἴσωπε, εἴ τι δύνασαι, λέγε τῇ πόλει. καὶ ὅς, μετὰ παρρησίας ἔφη. ἄνδρες σάμιοι, ἐπειδήπερ ἡ τύχη φιλόνεικος οὖσα δόξης ἀγῶνα τέθεικε δεσπότῃ καὶ δούλῳ, κἂν μὲν ὁ δοῦλος ἥττων φανῇ τοῦ δεσπότου, διὰ μαστίγων ἐλεύσεται, εἰ δ' ἀμείνων, οὐδὲν ἔλαττον καὶ οὕτω πληγαῖς ξανθήσεται. εἰ ὑμεῖς διὰ τῆς ἐμῆς ἐλευθερίας παρρησίαν χαρίσοισθέ μοι, ἐγὼ νῦν ὑμῖν ἀδεῶς τὸ ζητούμενον φράσω. τότε ὁ δῆμος ἀπὸ μιᾶς γλώττης πρὸς τὸν ξάνθον ἐβόων, ἐλευθέρωσον αἴσωπον. ὑπάκουσον σαμίοις. χάρισαι τὴν ἐλευθερίαν αὐτοῦ τῇ πόλει. ὁ δὲ ξάνθος, οὐκ ἐπένευε. καὶ ὁ πρύτανις ἔφη. ξάνθε, εἰ μή σοι δοκεῖ ὑπακοῦσαι τῷ δήμῳ, ἐγὼ τῆς δε τῆς ὥρας

αἴσωπον ἐλεύθερον ἂν ποιήσαιμι. καὶ τότε σοι ὁ μότι-
μος ἔσαι. τηνικαῦτα τοίνυν ὁ ξάνθος ἀνάγκῃ τὴν
ἐλευθερίαν ἀπέδωκε. καὶ ὁ κήρυξ ἐβόα, ξάνθος ὁ φι-
λόσοφος ἐλευθεροῖ σαμίοις τὸν αἴσωπον. κἂν τού-
τῳ πέρας ὁ τοῦ αἰσώπου λόγος εἰλήφει, φαμένου πρὸς
τὸν ξάνθον, ὥσ καὶ ἄκων ἐλευθερώσεις με. αἴσωπος
οὖν ἐλευθερίας τυχὼν, στὰς εἰς τὸ μέσον ἔφη. ἄνδρες
σάμιοι, ὁ μὲν ἀετὸς ὡς ἴστε, βασιλεὺς τῶν ὀρνίθων ἐστίν.
ὅτι δὲ τὸν στρατηγικὸν δακτύλιον οὕτως ἁρπάσας
ἀφῆκεν εἰς δούλου κόλπον, τοῦτο σημαίνειν βούλεται,
ὅτι τῶν νῦν βασιλέων τὶς βούλεται ὑμῶν τὴν ἐλευ-
θερίαν δουλῶσαι, καὶ τοὺς κυρίους νόμους ἀκύρους δεῖ-
ξαι, ταῦτα οἱ μὲν σάμιοι ἀκούσαντες, κατηφείας ἐπλή-
σθησαν. μετὰ δ' οὐ πολὺν χρόνον καὶ γράμματα
παρὰ κροίσου τοῦ λυδῶν βασιλέως ἧκε σαμίοις, κε-
λεύοντα τὸ ἀπὸ τοῦδε φόρους αὐτῷ παρέχειν, εἰ δὲ
μὴ πείθοιντο, πρὸς μάχην ἑτοίμους εἶναι. ἐβουλεύσαν
τὸ μὲν οὖν ἅπαντες. ἔδεισαν γὰρ ὑπήκοοι γενέσθαι
τοῦ κροίσου. συνοῖσον μέντοι εἶναι καὶ αἴσωπον ἐρω-
τῆσαι. κἀκεῖνος ἐρωτηθεὶς εἶπε. τῶν ἀρχόντων ἡμῶν
γνώμην δεδωκότων εἰσ φόρου ἀπαγωγὴν ὑπακούειν
τοῦ βασιλεῖ, συμβουλὴν μὲν οὐδ' ὥς, λόγον δὲ ἐρῶ ὑμῖν.
καὶ εἴσεσθε τὸ συμφέρον. ἡ τύχη δύο ὁδοὺς ἔδειξεν
ἐν τῷ βίῳ. θατέραν μὲν ἐλευθερίας, ἧς ἡ μὲν ἀρχὴ
δύσβατος, τὸ δὲ τέλος ὁμαλόν. θατέραν δὲ δουλείας.
ἧς ἡ μὲν ἀρχὴ εὐπετής τε καὶ βάσιμος, τὸ δὲ τέλος ἐπώ-
δυνον ταῦτα ἀκούσαντες οἱ σάμιοι, ἀνεβόησαν. ἡμεῖς ἐ-
λεύθεροι ὄντες. ἑκόντες οὐ γινόμεθα δοῦλοι. καὶ τὸν πρεσβευτὴν
οὐ σὺν εἰρήνῃ ἀπέπεμψαν. ὁ μὲν οὖν κροῖσος ταῦτα μα-
θὼν

θῶν, ἐβουλεύσατο πόλεμον κατὰ σαμίων κινεῖν. ὁ δὲ πρεσβευτὴς ἀνήνεγκεν, ὡς οὐκ ἂν δυνηθείη σαμίους ὑπὸ χεῖρα λαβεῖν, αἰσώπου παρ' αὐτοῖς ὄντος, καὶ γνώμας ὑποτιθέντος. δύνῃ δὲ μᾶλλον εἶπεν ὦ βασιλεῦ, πρέσβεις ἀποστείλας, ἐξαιτῆσαι παρ' αὐτῶν αἴσωπον, ὑποσχόμενος αὐτοῖς ἀντ' αὐτοῦ χάριτας ἄλλας τε δώσειν, καὶ λύσιν τῶν ἐπιταττομένων φόρων. καὶ τότε τάχα οἷός τε ἔσῃ τούτων περιγενέσθαι. καὶ ὁ μὲν κροῖσος κατὰ ταῦτα πρεσβευτὴν ἀποστείλας, ἔκδοτον ᾔτει τὸν αἴσωπον. σάμιοι δὲ τοῦτον ἐκδόσθαι γνώμης ἐγένοντο. αἴσωπος δὲ τοῦτο μαθὼν, ἐν μέσῳ δὲ τῆς ἀγορᾶς ἔστη. καὶ φησὶν, ἄνδρες σάμιοι, κἀγὼ μὲν περὶ πολλοῦ ποιοῦμαι παρὰ τοὺς πόδας ἀφικέσθαι τοῦ βασιλέως. ἐθέλω δὲ ὑμῖν ἕνα μῦθον εἰπεῖν. καθ' ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα, πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν. τῶν δὲ κυνῶν συμμαχούντων τοῖς θρέμμασι, καὶ τοὺς λύκους ἀποσοβούντων, οἱ λύκοι πρεσβευτὴν ἀποστείλαντες, ἔφασαν τοῖς προβάσιν, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ καὶ μηδένα πόλεμον ὑποπτεύειν, τοὺς κύνας αὐτοῖς ἐκδοῦναι. τῶν δὲ προβάτων ὑπ' ἀνοίας πεισθέντων, καὶ τοὺς κύνας ἐκδεδωκότων, οἱ λύκοι τούς τε κύνας διεσπάραξαν, καὶ τὰ πρόβατα ῥᾷστα διέφθειραν. οἱ σάμιοι τοίνυν τὸ τοῦ μύθου βούλημα συννοήσαντες, ὥρμησαν μὲν παρ' ἑαυτοῖς κατασχεῖν τὸν αἴσωπον. ὁ δὲ οὐκ ἠνέσχετο. ἀλλὰ τῷ πρεσβευτῇ συναποπλεύσας, πρὸς κροῖσον ἀπῄει. ἀφικομένων δ' αὐτῶν εἰς λυδίαν, ὁ βασιλεὺς ἐπίπροσθεν αὐτοῦ στάντα τὸν αἴσωπον θεασάμενος, ἠγανάκτησε λέγων, ἴδε ποταπὸν ἀνθρώπιον ἐμποδών μοι γέγονε τοῦ νῆσον ὑποτάξαι τοσαύτην, καὶ ὁ αἴσωπος,

μέγιστε βασίλευ; οὐ βίᾳ οὐδὲ ἀνάγκῃ πρὸς σὲ παρα-
γενόμενον, ἀλλ' αὐθαίρετος πάρειμι. ἀνάσχου δέ μου μι-
κρὸν ἀκοῦσαι. ἀνήρ τις ἀκρίδας συλλέγων καὶ ἀπο-
κτιννὺς, εἷλε καὶ τέττιγα. ἐπεὶ δὲ κἀκεῖνον ἠβούλετο
κτεῖναι, φησὶν ὁ τέττιξ, ἄνθρωπε μή με μάτην ἀνέ-
λῃς. ἐγὼ γὰρ οὔτε στάχυν βλάπτω, οὔτ' ἄλλο τί τῶν ἁπάν-
των σε ἀδικῶ. τῇ κινήσει δὲ τῶν ἐν ἐμοὶ ὑμένων ἡδὺ
φθέγγομαι, τέρπων τοὺς ὁδοιπόρους. φωνῆς οὖν παρ'
ἐμοὶ πλέον οὐδὲν εὑρήσεις. κἀκεῖνος ταῦτα ἀκού-
σας, ἀφῆκεν ἀπιέναι. κἀγὼ γοῦν ὦ βασιλεῦ τῶν σῶν
ποδῶν ἅπτομαι, μή με εἰκῇ φονεύσῃς. οὐδὲ γάρ οἷός τε
εἰμὶ ἀδικῆσαί τινα. ἐν εὐτελείᾳ δὲ σώματος γεν-
ναῖον φθέγγομαι λόγον. ὁ δὲ βασιλεὺς θαυμάσας ἅ-
μα καὶ οἰκτείρας αὐτὸν, ἔφη. αἴσωπε, οὐκοῦν ἐγώ σοι
δίδωμι τὸ ζῆν, ἀλλ' ἡ μοῖρα. ὃ γοῦν θέλεις, αἴτει καὶ
λήψῃ. καὶ ὃς δέομαί σου βασιλεῦ, διαλλάγηθι σαμίοις.
τοῦ δὲ βασιλέως εἰπόντος διήλλαγμαι, πεσὼν ἐκεῖ-
νος ἐπὶ τὴν γῆν, χάριτάς τε αὐτῷ ὡμολόγει, καὶ με-
τὰ τοῦτο τοὺς οἰκείους συγγραψάμενος μύθους, τοὺς μέ-
χρι καὶ νῦν φερομένους, παρὰ τῷ βασιλεῖ κατέλιπε.
δεξάμενος δὲ παρ' αὐτοῦ γράμματα πρὸς σαμίους, ὡς
ἕνεκεν αἰσώπου τούτοις διήλλακται, καὶ δῶρα πολλὰ,
πλεύσας ἐπανῆλθεν εἰς σάμον. οἱ μὲν οὖν σάμιοι τοῦ-
τον ἰδόντες, στέμματά τε αὐτῷ προσήνεγκαν. καὶ χο-
ροὺς ἐπ' αὐτῷ συνεστήσαντο. ὁ δ' αὐτοῖς τά τε τοῦ βασι-
λέως ἀνέγνω γράμματα, καὶ ἀπέδειξεν ὡς τὴν εἰς αὐ-
τὸν γενομένην παρὰ τοῦ δήμου ἐλευθερίαν, ἐλευθερίᾳ
πάλιν ἠμείψατο. μετὰ δὲ τοῦτο τῆς νήσου ἀπάρας, πε-
ριῄει τὴν οἰκουμένην, τοῖς ἁπανταχοῦ τῶν φιλοσόφων
διαλεγό-

διαλεγόμενος. ἀφικόμενος δὲ καὶ πρὸς Βαβυλῶνα καὶ τὴν ἑαυτοῦ σοφίαν ἐπιδειξάμενος, μέγας παρὰ τῷ βασιλεῖ Λυκήρῳ ἐγένετο. κατ' ἐκείνους γὰρ τοὺς χρόνους οἱ βασιλεῖς πρὸς ἀλλήλους εἰρήνην ἔχοντες, καὶ τέρψεως χάριν προβλήματα τῶν σοφιστικῶν πρὸς ἀλλήλους γράφοντες ἔπεμπον. ἅπερ οἱ μὲν ἐπιλυόμενοι, φόρους ἐπὶ ῥητοῖς πρὸς τῶν πεμπόντων, ἐλάμβανον. οἱ δὲ μὴ, τοὺς ἴσους παρεῖχον. ὁ τοίνυν αἴσωπος τὰ πεμπόμενα τῶν προβλημάτων λυκήρῳ συννοῶν ἐπέλυε. καὶ εὐδοκιμεῖν ἐποίει τὸν βασιλέα. καὶ αὐτὸς δὲ διὰ λυκήρου ἕτερα τοῖς βασιλεῦσιν ἀντέπεμπεν. ὧν ἀλύτων μενόντων, φόρους ὁ βασιλεὺς ὅτι πλείστους εἰσέπραττεν. αἴσωπος δὲ μὴ παιδοποιησάμενος, ἕνα τινὰ τῶν εὐγενῶν ἔννον τὴν κλῆσιν εἰσεποιήσατό τε, καὶ ὡς γνήσιον παῖδα τῷ βασιλεῖ προσενέγκας, συνέστησε. μετὰ δ' οὐ πολὺν χρόνον τοῦ ἔννου τῇ τοῦ θρεμμένου παλλακῇ συμφθαρέντος, αἴσωπος τοῦτο γνοὺς, ἀπελαύνειν ἔμελλε τῆς οἰκίας. ὁ δὲ, τῇ κατ' ἐκείνου ὀργῇ ληφθεὶς, ἐπιστολήν τε πλασάμενος παρ' αἰσώπου δῆθεν πρὸς τοὺς ἀντισοφιζομένους λυκήρῳ, ὡς αὐτοῖς ἕτοιμός ἐστι προστίθεσθαι μᾶλλον ἢ τῷ λυκήρῳ, τῷ βασιλεῖ ἐνεχείρισε, τῷ τοῦ αἰσώπου ταύτην σφραγισάμενος δακτυλίῳ. ὁ δὲ βασιλεὺς τῇ τε σφραγῖδι πεισθεὶς, καὶ ἀπαραιτήτῳ ὀργῇ χρησάμενος, παραχρῆμα, τῷ ἑρμίππῳ κελεύει μηδὲν διετάσαντα, οἷα δὴ προδότην διαχειρίσασθαι αἴσωπον. ὁ δὲ ἕρμιππος, φίλος τε ὢν τῷ αἰσώπῳ, καὶ τότε δὴ τὸν φίλον ἐπέδειξεν. ἔν τινι γὰρ τῶν τάφων μηδενὸς εἰδότος κρύψας τὸν ἄνθρωπον, ἐν ἀποῤῥή-

τοῖς ἔτρεφεν. ἔννος δὲ, τοῦ βασιλέως κελεύσαντος,
πᾶσαν τὴν διοίκησιν αἰσώπου παρέλαβε. μετὰ δέ τι-
να χρόνον νεκτεναβὼ βασιλεὺς αἰγυπτίων πυθόμε-
νος αἴσωπον τεθνηκέναι, πέμπει λυκήρῳ παραχρῆ-
μα ἐπιστολὴν, οἰκοδόμους αὐτῷ ἀποστεῖλαι κελεύουσαν,
οἳ πύργον οἰκοδομήσουσι, μήτ' οὐρανοῦ, μήτε γῆς ἁπτό-
μενον, καὶ τὸν ἀποκρινούμενον ἀεὶ πρὸς πάνθ' ὅσα
ἂν ἐρωτῶσι. καὶ τοῦτο ποιήσαντα, φόρους εἰσπράττειν.
εἰ δὲ μὴ, κατατίθεσθαι. ταῦτα γὰρ λυκήρῳ ἀναγνωσθέν-
τα, ἀθυμίαν ἐνέβαλε, μηδενὸς τῶν φίλων δυναμένου,
τὸ πρόβλημα τὸ περὶ τοῦ πύργου συνεῖναι. ὁ μέντοι βα-
σιλεὺς, καὶ κίονα τῆς ἑαυτοῦ βασιλείας ἔλεγεν ἀπο-
λωλεκέναι τὸν αἴσωπον. ἕρμιππος δὲ τὴν τοῦ βασιλέ-
ως δι' αἴσωπον λύπην μαθὼν, προσῆλθέ τε τῷ βασι-
λεῖ. καὶ ζῆν ἐκεῖνον εὐηγγελίσατο, προσθεὶς αὐτοῦ δὴ χά-
ριν αὐτὸν οὐκ ἀνελεῖν, εἰδὼς ὡς μελήσῃ ποτὲ τῷ βα-
σιλεῖ τῆς ἀποφάσεως. τοῦ δὲ βασιλέως διαφερόντως ἐπὶ
τούτοις ἡσθέντος, αἴσωπος ῥυπῶν καὶ αὐχμῶν ὅλος
προσηνέχθη, καὶ τοῦ βασιλέως ὡς εἶδεν αὐτὸν, δακρύ-
σαντος, λούσασθαί τε καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιω-
θῆναι κελεύσαντος, αἴσωπος μετὰ τοῦτο καὶ ὑπὲρ ὧν
κατηγορήθη τὰς αἰτίας ἀπεσκευάσατο. ἐφ' οἷς καὶ τοῦ βα-
σιλέως τὸν ἔννον ἀναιρεῖν μέλλοντος, αἴσωπος αὐ-
τῷ συγγνώμην ᾐτήσατο. ἐπομένως δὲ τούτοις, ὁ βασι-
λεὺς τοῦ αἰγυπτίου ἐπιστολὴν τῷ αἰσώπῳ ἀπέ-
δωκεν ἀναγνῶναι. ὁ δ' αὐτίκα τὴν λύσιν συνεὶς τοῦ
προβλήματος, ἐγέλασέ τε καὶ ἀντιγράφειν ἐκέλευ-
σεν, ὡς ἐπειδὰν χειμὼν παρέλθῃ, πεμφθῆναι τούς τε
τὸν πύργον οἰκοδομήσοντας, καὶ τὸν ἀποκρινούμενον
πρὸς

πρὸς τὰ ἐπερωτώμενα. ὁ βασιλεὺς οὖν τοὺς μὲν αἰ-
γυπτίους πρέσβεις ἀπέστειλεν. αἰσώπῳ δὲ τὴν ὅλην ἀρ-
χῆς διοίκησιν ἐνεχείρισεν ἅπασαν, ἔκδοτον αὐτῷ πα-
ραδοὺς καὶ τὸν ἔννον. ὁ δὲ αἴσωπος παραλαβὼν τὸν
ἔννον, οὐδὲν ἀηδὲς αὐτὸν ἔδρασεν. ἀλλ᾽ ὡς υἱῷ πάλιν
προσχὼν, ἄλλους τε καὶ τούτους ὑπετίθει τοὺς λόγους.
Τέκνον, πρὸ πάντων, σέβου τὸ θεῖον. τὸν βασιλέα
δὲ τίμα. καὶ τοῖς μὲν ἐχθροῖς σου, δεινὸν σεαυτὸν πα-
ρασκεύαζε, ἵνα μὴ καταφρονῶσι σου, τοῖς δὲ φίλοις »
πρᾶον καὶ εὐμετάδοτον, ὡς εὐνουστέρους σοι μᾶλλον »
γίνεσθαι. ἔτι τοὺς μὲν ἐχθροὺς νοσεῖν εὔχου καὶ πένεσθαι, »
ὡς μὴ οἵους τε εἶναι λυπεῖν σε. τοὺς δὲ φίλους κατὰ πάν- »
τα εὖ πράττειν βούλου. ἀεὶ τῇ γυναικί σου χρηστῶς »
ὁμίλει, ὅπως ἑτέρου ἀνδρὸς πεῖραν μὴ ζητήσῃ λαβεῖν. »
κοῦφον γὰρ τὸ τῶν γυναικῶν ἐστὶ φῦλον, καὶ κολακευό- »
μενον ἐλάττω φρονεῖ κακά. ὀξεῖαν μὴ πρὸς λόγον κτῆ-
σαι τὴν ἀκοήν. τῆς δὲ γλώττης ἐγκρατὴς ἔσο. τοῖς εὖ »
πράττουσι μὴ φθόνει, ἀλλὰ σύγχαιρε. φθονῶν γὰρ σε- »
αυτὸν μᾶλλον βλάψεις. τῶν οἰκετῶν σου ἐπιμελοῦ, »
ἵνα μὴ μόνον ὡς δεσπότην σε φοβῶνται, ἀλλὰ καὶ »
ὡς εὐεργέτην αἰδῶνται. μὴ αἰσχύνου μανθάνειν ἀεὶ τὰ
κρείττω. τῇ γυναικὶ μηδέ ποτε πιστεύσῃς ἀπόρρητα. »
ἀεὶ γὰρ ὁπλίζεται, πῶς σου κυριεύσει. καθ᾽ ἡμέραν »
καὶ εἰς τὴν αὔριον ἀποταμίευε· βέλτιον γὰρ τε- »
λευτῶντα ἐχθροῖς καταλεῖψαι, ἢ ζῶντα τῶν φί-
λων ἐπιδεῖσθαι. εὐπροσήγορος ἔσο τοῖς ἀπαντῶ- »
σιν, εἰδὼς ὡς καὶ τῷ κυναρίῳ ἄρτον ἡ οὐρὰ προσ- »
πορίζει. ἀγαθὸς γενόμενος μὴ μετανόει. ψίθυρον ἄν- »
δρα ἔκβαλε σῆς οἰκίας. τὰ γὰρ ὑπὸ σοῦ λεγόμενα

» καὶ πραττόμενα ἑτέροις φέρων ἀναθήσει. πρᾶττε μὴ τὰ
λυπήσοντά σε. ἐπὶ δὲ τοῖς συμβαίνουσι μὴ λυποῦ.
» μήτε πονηρὰ βουλεύσῃ ποτὲ, μήτε τρόπους κακῶν μιμήσῃ. τούτοις τοῦ αἰσώπου τὸν ἔννουν νουθετήσαντος,
» ἐκεῖνος τοῖς τε λόγοις καὶ τῇ οἰκείᾳ συνειδήσει οἷά τινι βέλει πληγεὶς τὴν ψυχὴν, μετ' οὐ πολλὰς ἡμέρας τὸν βίον μετήλλαξεν. αἴσωπος δὲ τοὺς ἰξευτὰς πάντας προσκαλεσάμενος, ἀετῶν νεοττοὺς τέσσαρας συλληφθῆναι κελεύει. συλληφθέντας οὖν οὕτως, ἔθρεψεν ὡς λέγεται, καὶ ἐπαίδευσεν, ὅπερ οὐ πάνυ τί με πεπεισμένον ἔχει, ὡς παῖδας διὰ θυλάκων αὐτοῖς προσηρτημένων βαστάζοντας εἰς ὕψος αἴρεσθαι. καὶ οὕτως ὑπηκόους τοῖς παισὶν εἶναι, ὡς ὅπουπερ ἂν ἐκεῖνοι βούλοιντο ἵπτασθαι ἄν τε εἰς ὕψος, ἄν τε εἰς γῆν χαμᾶζε. περὶ δὲ χειμερινῆς ὥρας παραδραμούσης, καὶ ἦρος διαγελάσαντος, ἅπαντα τὰ πρὸς τὴν ὁδὸν συσκευασάμενος αἴσωπος, καὶ τούς τε παῖδας λαβὼν καὶ τοὺς ἀετοὺς, ἀπῇρεν εἰς αἴγυπτον, πολλῇ φαντασίᾳ καὶ δόξῃ πρὸς κατάπληξιν τῶν ἐκεῖ κεχρημένος. νεκτεναβὼ δὲ ἀκούσας παραγεγονέναι τὸν αἴσωπον, ἠπάτημαι φησὶ τοῖς φίλοις, μεμαθηκὼς αἴσωπον τεθνηκέναι. τῇ δ' ἐπιούσῃ κελεύσας ὁ βασιλεὺς πάντας τοὺς ἐν τέλει λευκὰς περιβαλέσθαι στολὰς, αὐτὸς ἐρέαν ἐνεδύσατο, καὶ διάδημα, καὶ διάλιθον κίταριν. καὶ καθεσθεὶς ἐφ' ὑψηλοῦ δίφρου, καὶ τὸν αἴσωπον εἰσαχθῆναι κελεύσας, τίνι με εἰκάζεις εἰσελθόντι φησὶν αἴσωπε, καὶ τοὺς σὺν ἐμοί; καὶ ὅς, σὲ μὲν ἡλίῳ ἐαρινῷ, τοὺς δὲ περὶ σὲ τούτους, ὡραίοις στάχυσι. καὶ ὁ βασιλεὺς θαυμάσας αὐτὸν, καὶ δώροις ἐδεξιώσατο. τῇ δὲ μετ' ἐκείνην ἡμέρᾳ πάλιν

πάλιν, ὁ μὲν βασιλεὺς λευκοτάτην ἐνεσκευασάμενος, τοῖς δὲ φίλοις φοινικᾶς κελεύσας λαβεῖν, εἰσελθόντα τὸν αἴσωπον, τὴν προτέραν αὖθις πεῦσιν ἐπύθετο. καὶ ὁ αἴσωπος, σὲ μὲν εἶπεν εἰκάζω ἡλίῳ. τοὺς δὲ περὶ σὲ τούτους ἀκτῖσι. καὶ ὁ νεκτεναβὼ, οἶμαι μηδὲν εἶναι λυκῆρον πρὸς τὴν ἐμὴν βασιλείαν. καὶ ὁ αἴσωπος μειδιάσας, μὴ εὐχερῶς οὕτω περὶ ἐκείνου λέγε ὦ βασιλεῦ, πρὸς μὲν γὰρ τὸ ὑμέτερον ἔθνος ἡ ὑμῶν ἐπιδεικνυμένη βασιλεία, δίκην ἡλίου σελαγεῖ. εἰ δὲ λυκήρῳ παραβληθείη, οὐδὲν ἂν δέοι μὴ τὸ φῶς τοῦτο ζόφον ἀποδειχθῆναι. καὶ ὁ νεκτεναβὼ τὴν τῶν λόγων εὐστοχίαν ἐκπλαγεὶς, ἤνεγκας ἡμῖν ἔφη τοὺς μέλλοντας τὸν πύργον οἰκοδομεῖν. καὶ ὃς, ἕτοιμοί εἰσιν, εἰ μόνον ὑποδείξεις τὸν τόπον. μετὰ τοῦτο ἐξελθὼν ἔξω τῆς πόλεως ὁ βασιλεὺς ἐπὶ τὸ πεδίον, ὑπέδειξε διαμετρήσας τὸν χῶρον, ἀγαγὼν τοίνυν αἴσωπος ἐπὶ τὰς ὑποδειχθείσας τοῦ τόπου γωνίας τέτταρας τοὺς τέτταρας τῶν ἀετῶν, ἅμα τοῖς παισὶ διὰ τῶν θυλάκων ἀπηρτημένιος, καὶ οἰκοδόμων τοῖς παισὶ μετὰ χεῖρας δοὺς ἐργαλεῖα, ἐκέλευσεν ἀναπτῆναι. οἱ δὲ πρὸς ὕψος γενόμενοι, δότε ἡμῖν ἐφώνουν λίθους. δότε κονίαν. δότε ξύλα, καὶ τἄλλα τῶν πρὸς οἰκοδομὴν ἐπιτηδείων. ὁ δὲ νεκτεναβὼ τοὺς παῖδας θεασάμενος ὑπὸ τῶν ἀετῶν εἰς ὕψος ἀναφερομένους, ἔφη. πόθεν ἐμοὶ πτηνοὶ ἄνθρωποι. καὶ ὁ αἴσωπος, ἀλλὰ λυκῆρος ἔχει. σὺ δὲ θέλεις ἄνθρωπος ὢν ἰσοθέῳ ἐρίζειν βασιλεῖ; καὶ ὁ νεκτεναβὼ, αἴσωπε, ἥττημαι. ἐρήσομαι δέ σε. σὺ δέ μοι ἀπόκριναι. καὶ φησίν. εἰσί μοι θήλειαι ὧδε ἵπποι, αἳ ἐπειδὰν ἀκούσωσι τῶν ἐν βαβυλῶνι ἵππων

χρεμετιζόντων εὐθὺς συλλαμβάνουσιν. εἴσοι πρὸς τοῦτο πάρεστι σοφία, ἐπίδειξαι. καὶ ὁ αἴσωπος, ἀποκρινοῦμαί σοι αὔριον βασιλεῦ. ἐλθὼν δ' οὗ κατήγετο, αἴλουρον τοῖς παισὶν ἐκέλευσε συλλαβεῖν, καὶ συλληφθέντα, δημοσίᾳ περιάγεσθαι μαστιζόμενον. οἱ δ' αἰγύπτιοι τὸ ζῶον σεβόμενοι, οὕτω κακῶς πάσχον αὐτὸ θεασάμενοι, συνέδραμον. καὶ τὸν αἴλουρον τῶν χειρῶν τῶν μαστιγούντων ἐκσπάσαντες, ἀναγγέλλουσιν ὡς τάχος τῷ βασιλεῖ τὸ πάθος. ὁ δὲ, καλέσας τὸν αἴσωπον, οὐκ ᾔδεις φησὶν αἴσωπε, ὡς θεὸς σεβόμενος παρ' ἡμῖν ἐστὶν αἴλουρος; ἵνα τί γοῦν τοῦτο πεποίηκας. καὶ ὃς, λυκοῦργον τὸν βασιλέα ἠδίκησεν ὦ βασιλεῦ τῇ παρελθούσῃ νυκτὸς οὗτος ὁ αἴλουρος. ἀλεκτρυόνα γὰρ αὐτοῦ πεφόνευκε μάχιμον καὶ γενναῖον, προσέτι γεμὴν καὶ τὰς ὥρας αὐτῷ τῆς νυκτὸς σημαίνοντα. καὶ ὁ βασιλεὺς, οὐκ αἰσχύνῃ ψευδόμενος αἴσωπε; πῶς γὰρ ἐν μιᾷ νυκτὶ αἴλουρος ἀπ' αἰγύπτου ἦλθεν εἰς βαβυλῶνα. κἀκεῖνος μειδιάσας φησίν. καὶ πῶς ὦ βασιλεῦ ἐν βαβυλῶνι τῶν ἵππων χρεμετιζόντων, αἱ ἐνθάδε θήλειαι ἵπποι συλλαμβάνουσιν. ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας, τὴν φρόνησιν αὐτοῦ ἐμακάρισε. μετὰ δὲ ταῦτα μεταπεμψάμενος ἀφ' ἡλίου πόλεως ἄνδρας ζητημάτων σοφιστικῶν ἐπιστήμονας. καὶ περὶ τοῦ αἰσώπου διαλεχθεὶς αὐτοῖς ἐκάλεσεν ἅμα τῷ αἰσώπῳ ἐπ' εὐωχίαν. ἀνακλινθέντων οὖν αὐτῶν, τῶν ἡλίου πολιτῶν τὶς φησὶ πρὸς τὸν αἴσωπον. ἀπεστάλην παρὰ τοῦ θεοῦ μου πεῦσίν τινα πυθέσθαι σου, ὡς ἂν αὐτὴν ἐπιλύσῃς. καὶ ὁ αἴσωπος, ψεύδῃ. θεὸς γὰρ παρὰ ἀνθρώπου οὐδὲν δεῖται μαθεῖν. σὺ δ' οὐ μόνον

σαυτοῦ

σαυτοῦ κατηγορεῖς, ἀλλὰ καὶ τῷ θεῷ σου. ἕτερος πάλιν εἶπεν. ἔστι ναὸς μέγας καὶ ἐν αὐτῷ στύλος, δώδεκα πόλεις ἔχων. ὧν ἑκάστη, τριάκοντα δοκοῖς ἐστέγασται. τούτους δὲ περιΐουσι δύο γυναῖκες. καὶ ὁ αἴσωπος ἔφη. τοῦτο τὸ πρόβλημα καὶ οἱ παρ' ἡμῖν ἐπιλύσονται παῖδες. ναὸς μὲν γάρ ἐστιν οὗτος ὁ κόσμος. στύλος δ' ὁ ἐνιαυτός. αἱ δὲ πόλεις οἱ μῆνες. καὶ δοκοὶ αἱ τούτων ἡμέραι. ἡμέρα δὲ καὶ νὺξ, αἱ δύο γυναῖκες, αἳ παραλλὰξ ἀλλήλας δέχονται. τῇ δὲ ἐφεξῆς ἡμέρᾳ συγκαλέσας τοὺς φίλους ἅπαντας ὁ νεκτεναβὼ, φησί. διὰ τὸν αἴσωπον τοῦτον ὀφλήσομεν φόρους τῷ βασιλεῖ λυκήρῳ. εἷς δέ τις αὐτῶν εἶπε. κελεύσομεν αὐτῷ προβλήματα φράσαι ἡμῖν. περὶ ὧν οὔτ' οἴδαμεν, οὔτ' ἠκούσαμεν. καὶ ὃς, αὔριον ἐπὶ τούτου ἡμῖν ἀποκρινοῦμαι. ἀπελθὼν οὖν καὶ συνταξάμενος γραμματεῖον, ἐν ᾧ περιείχετο νεκτεναβὼ ὁμολογῶν χίλια τάλαντα τῷ λυκήρῳ ὀφείλειν, πρωΐας ἐπανελθὼν, τῷ βασιλεῖ τὸ γραμματεῖον ἐπέδωκεν. οἱ δὲ τοῦ βασιλέως φίλοι πρὶν ἀνοιχθῆναι τὸ γραμματεῖον, πάντες ἔλεγον. καὶ εἴδομεν τοῦτο καὶ ἠκούσαμεν, καὶ ἀληθῶς ἐπιστάμεθα. καὶ ὁ αἴσωπος, χάριν ὑμῖν οἶδα τῆς ἀποδόσεως ἕνεκεν. ὁ δὲ νεκτεναβὼ τὴν ὁμολογίαν τῆς ὀφειλῆς ἀναγνοὺς, εἶπεν. ἐμοῦ λυκήρῳ μηδὲν ὀφείλοντος, πάντες ὑμεῖς μαρτυρεῖτε; κἀκεῖνοι μεταβαλόντες, εἶπον. οὔτ' εἴδομεν οὔτ' ἠκούσαμεν. καὶ ὁ αἴσωπος, καὶ εἰ ταῦθ' οὕτως ἔχει, λέλυται τὸ ζητούμενον. καὶ ὁ νεκτεναβὼ πρὸς ταῦτα; μακάριός ἐστι λυκῆρος τοιαύτην σοφίαν ἐν τῇ βασιλείᾳ ἑαυτοῦ κεκτημένος. τοὺς οὖν συμφωνηθέντας φόρους παραδοὺς τῷ αἰσώπῳ,

πω, ἐν εἰρήνῃ ἀπέστειλεν. αἴσωπος δ᾽ εἰς βαβυλῶνα παραγενόμενος, διεξῆλθέ τε λυκήρῳ τὰ ἐν αἰγύπτῳ πραχθέντα πάντα, καὶ τοὺς φόρους ἀπέδωκε, λυκῆρος δ᾽ ἐκέλευσεν ἀνδριάντα χρυσοῦν τῷ αἰσώπῳ ἀνατεθῆναι. μετὰ δ᾽ οὐ πολὺν χρόνον αἴσωπος εἰς ἑλλάδα, ἐβουλεύσατο πλεῦσαι. καὶ δὴ τῷ βασιλεῖ συνταξάμενος ἀπεδήμησεν, ὅρκον δοὺς αὐτῷ πρότερον, ἦ μὴν ἐπανήξειν εἰς βαβυλῶνα, κἀκεῖ τὸ λοιπὸν διαβιώσειν. περιϊὼν δὲ τὰς ἑλληνίδας πόλεις, καὶ τὴν ἑαυτοῦ σοφίαν ἐπιδεικνύμενος, ἦλθε καὶ εἰς δελφούς. οἱ δὲ δελφοὶ, διαλεγομένου μὲν ἠκροῶντο ἡδέως. τιμῆς δὲ καὶ θεραπείας εἰς αὐτὸν ἔδρασαν οὐδ᾽ ὁτιοῦν. ὁ δὲ, πρὸς αὐτοὺς ὑπολαβὼν ἔφη. ἄνδρες δελφοὶ, ἔπεισί μοι ξύλῳ ὑμᾶς εἰκάζειν τῷ ἐν θαλάττῃ φερομένῳ. κἀκεῖνο γὰρ ὁρῶντες ἐκ πολλοῦ διαστήματος ὑπὸ κυμάτων φερόμενον, πολλοῦ τινος ἄξιον εἶναι οἰόμεθα. ἐπειδὰν δ᾽ ἐγγυτάτω προσέλθῃ, εὐτελέστατον φαίνεται. κἀγὼ γοῦν πόῤῥωθεν τῆς ὑμῶν πόλεως, ὧν ὥς τινας τῶν ἀξίων λόγου ὑμᾶς ἐθαύμαζον. νυνὶ δ᾽ ἐλθὼν ὡς ὑμᾶς, πάντων ὡς εἰπεῖν ἀνθρώπων εὗρον ἀχρειοτέρους, οὕτω πεπλάνημαι. ταῦτα ἀκούσαντες οἱ δελφοὶ, καὶ δείσαντες μή πως αἴσωπος καὶ πρὸς τὰς ἄλλας πόλεις βαδίζων κακῶς αὐτοὺς λέγῃ, βουλὴν ἐβουλεύσαντο δόλῳ τὸν ἄνθρωπον ἀνελεῖν. καὶ δῆτα χρυσῆν φιάλην ἐκ τοῦ παρ᾽ αὐτοῖς ἱεροῦ τοῦ ἀπόλλωνος ἀνελόμενοι, λάθρα τοῖς αἰσώπου κατέκρυψαν στρώμασι. τοῦ δ᾽ αἰσώπου τὰ ὑπ᾽ αὐτῶν ἀγνοοῦντος σκαιωρηθέντα, ἐξελθὼν ἐπορεύετο πρὸς φωκίδα. οἱ δελφοὶ δ᾽ ἐπιδραμόντες, καὶ καταχόντες αὐτὸν, ἀνέκρινον, ὡς ἱεροσυληκότα. τοῦ δ᾽

ἀρνουμένου

ἀργυρμένου μηδὲν πεπραχέναι τοιοῦτό, ἐκεῖνοι πρὸς βί/αν τὰ στρώματα ἀναπτύξαντες, τὴν χρυσῆν εὗρον φι/άλην. ἣν καὶ ἀναλαβόντες, τοῖς ἐν τῇ πόλει πᾶσιν ἐπεδείκνυσαν οὐ σὺν ὀλίγῳ θορύβῳ. ὁ μὲν οὖν αἴσω πος τὴν ἐκείνων συνοήσας ἐπιβουλὴν, ἐδεῖτο αὐτῶν ἀπολυθῆναι. οἱ δ' οὐ μόνον οὐκ ἀπέλυσαν, ἀλλ' ὡς ἱερο/συλήσαντα, καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλον, θάνα τον αὐτοῦ καταψηφισάμενοι. αἴσωπος δὲ μηδεμιᾶ μη χανῇ τῆς πονηρᾶς ἐκ δὲ τύχης σωθῆναι δυνάμενος, ἑαυτὸν ἐπὶ τῆς εἱρκτῆς ἐθρήνει καθήμενος. τῶν συνή θων δέ τις αὐτῷ δαμᾶς τοὔνομα πρὸς αὐτὸν εἰσελ/θὼν, καὶ ἰδὼν οὕτως ὀλοφυρόμενον, τὴν αἰτίαν τοῦ πάθους ἤρετο, καὶ ὃς ἔφη. γυνή τις προσφάτως τὸν ἑαυ τῆς ἄνδρα θάψασα, καθ' ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνη μεῖον, ἐθρήνει. ἀροτριῶν δέ τις οὐ πόῤῥω τοῦ μνήματος, εἰς ἐπιθυμίαν ἧκε τῆς γυναικός. καὶ καταλιπὼν τοὺς βόας, ἦλθε καὶ αὐτὸς πρὸς τὸ μνῆμα. καὶ καθίσας, συνεθρήνει τῇ γυναικί. τῆς δὲ, πυθομένης τί δήποτε καὶ αὐτὸς οὕτως ὀδύρεται, ὅτι κἀγώ φησιν εὐπρεπῆ γυναῖκα κατώρυξα. καὶ ἐπειδὰν κλαύσω, τῆς λύπης κουφίζομαι. ἡ δὲ, κἀμοί τοῦτ' αὐτὸ προσγίνεται. κἀ/κεῖνος, εἰ τοίνυν τὴν αὐτὴν περιπεπτώκαμεν πάθε/σιν τί δήποτε ἀλλήλοις μὴ σύνεσμεν. ἐγώ τε γὰρ φι λήσω σε ὡς ἐκείνην, κἀμὲ σὺ πάλιν ὡς τὸν σαυτῆς ἄν δρα. ταῦτα ἔπεισε τὴν γυναῖκα. καὶ δὴ συνῆλθον. ἐν τούτῳ δὲ κλέπτης ἐλθὼν, καὶ τοὺς βόας λύσας, ἀπή/λασεν. ὁ δ' ἐπανελθὼν, καὶ τοὺς βόας μὴ εὑρηκὼς, κό πτεσθαί τε καὶ οἰμώζειν ἰσχυρῶς ἐνεστήσατο. ἐλθοῦσα δὲ καὶ ἡ γυνὴ καὶ ὀλοφυρόμενον εὑροῦσα, φησί, πάλιν κλαί

εις, καὶ

ας, κἀκεῖνος, νῦν εἶπεν ἐπ' ἀληθείας κλαίω. κἀγὼ γοῦν πολλοὺς διαδρὰς κινδύνους, νῦν τῷόντι θρηνῶ, λύσιν τοῦ κακοῦ μηδαμόθεν εὑρίσκων. μετὰ ταῦτα παροῦσαν [illegible] οἱ δελφοί. καὶ ἐκβαλόντες αὐτὸν τῆς εἱρκτῆς εἷλκον βιαίως ἐπὶ τοῦ κρημνοῦ. ὁ δὲ πρὸς αὐτοὺς ἔλεγεν. ὅτε ἦν ὁμόφωνα τὰ ζῶα, μῦς βατράχῳ φιλιωθεὶς, εἰς δεῖπνον αὐτὸν ἐκά-λεσε. καὶ ἀπαγαγὼν εἰς ταμεῖον πλουσίου, ἔνθα πλεῖστα τῶν ἐδωδίμων ἦν, εὐωχοῦ φησὶ φίλε βάτραχε. μετὰ δὲ τὴν ἑστίασιν, καὶ ὁ βάτραχος τὸν μῦν ἐπὶ τὴν οἰκείαν ἐκά-λεσε δίαιταν. ἀλλ' ἵνα μὴ ἀποκάμῃς φησὶ νηχόμενος, μηρίνθῳ λεπτῇ τὸν σὸν πόδα τῷ ἐμαυτοῦ προσαρτήσω, καὶ τοῦτο πράξας, ἥλατο εἰς τὴν λίμνην. αὐτοῦ δὲ καταδύ-ναντος εἰς βάθος, ὁ μῦς ἀπεπνίγετο, καὶ θνήσκων εἶπεν. ἐγὼ μὲν ὑπὸ σοῦ θνήσκω. ἐκδικηθήσομαι δὲ ὑπὸ μείζονος. ἐπιπλέοντος οὖν τοῦ μυὸς ἐν τῇ λίμνῃ νεκροῦ, καταπτὰς ἀετὸς, τοῦτον ἀφήρπασε. σὺν αὐτῷ δὲ προσηρτημένον ὁμοῦ καὶ τὸν βάτραχον. καὶ οὕτως ἄμφω, κατεθοινήσατο. κἀγὼ τοίνυν βίᾳ πρὸς ὑμῶν ἀποθνήσκων, ἕξω τὸν ἀ-μυνοῦντα. βαβυλὼν γὰρ καὶ ἑλλὰς πᾶσα τὸν ἐμὸν παρ' ὑμῶν ἀπαιτήσουσι θάνατον. οἱ μὲν οὖν δελφοὶ, οὐδ' ὣς ἐφείδοντο τοῦ αἰσώπου. ὁ δ' ἐπὶ τὸ τοῦ ἀπόλλωνος κα-τέφυγεν ἱερόν. οἱ δὲ, κἀκεῖθεν ἀποσπάσαντες μετ' ὀργῆς, ἐπὶ τὸν κρημνὸν αὖθις εἷλκον. ὁ δ' ἀπαγόμενος ἔλεγεν. ἀκούσατέ μου δελφοί. λαγωὸς ὑπὸ ἀετοῦ διωκόμενος, πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ' αὐτοῦ σωθῆναι. ὁ δὲ κάνθαρος ἠξίου τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκί-ζων αὐτὸν κατὰ τοῦ μεγίστου διὸς, ἢ μὴν μὴ καταφρονῆ-σαι τῆς μικρότητος αὐτοῦ. ὁ δὲ, μετ' ὀργῆς τῇ πτέρυγι ῥα-πίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἁρπάσας κατέφαγεν. ὁ

δὲ κάν

ἡ κάνθαρος περί τε ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τοῦ του καταμαθεῖν. καὶ δὴ προσελθὼν, τὰ ὠὰ τότε κατακυλίσας διέφθειρε. τοῦ δὲ, δεινὸν ποιησαμένου εἴ τις τοῦτο τολμήσειε, κἀπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα τούτῳ διέθηκεν. ὁ δ' ἀετὸς ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ἐπὶ τὸν δία, τούτου γὰρ ἱερὸς εἶναι λέγεται, τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ὠῶν ἔθηκε, τῷ θεῷ ταῦτα παραθέμενος, καὶ ἱκετεύσας φυλάττειν. ὁ κάνθαρος δὲ κόπρου σφαῖραν ποιήσας, καὶ ἀναβὰς, ἐπὶ τῷ κόλπῳ τοῦ δῖος ταύτην καθῆκεν. ὁ δὲ ζεὺς ἀναστὰς ἐφῶ τὴν ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ὠὰ διέρριψεν ἐκλαθόμενος, ἃ καὶ συνέτριψε πεσόντα. μαθὼν δὲ πρὸς τοῦ κανθάρου, ὅτι ταῦτ' ἔδρασε τὸν ἀετὸν ἀμυνόμενος, οὐ γὰρ δὴ τὸν κάνθαρον ἐκεῖνος μόνον ἠδίκησεν, ἀλλὰ καὶ εἰς τὸν δία αὐτὸν ἠσέβησε, πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα. κάνθαρον εἶναι τὸν λυποῦντα, καὶ δὴ καὶ δικαίως λυπεῖν. μὴ βουλόμενος οὖν τὸ γένος τὸ τῶν ἀετῶν σπανισθῆναι, συνεβούλευε τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀετὸν θέσθαι. τοῦ δὲ, πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὸν τῶν ἀετῶν μετέθηκε τοκετὸν, ἡνίκα ἂν μὴ φαίνωνται κάνθαροι. καὶ ὑμεῖς οὖν ὦ ἄνδρες δελφοὶ, μὴ ἀτιμάσητε τοῦτον δὴ τὸν θεὸν, εἰς ὃν καταπέφυγον, εἰ καὶ μικροῦ τετύχηκεν ἱεροῦ. οὐ δὲ γὰρ ἀσεβείας περιόψεται. οἱ δὲ δελφοὶ τούτων ὀλίγα φροντίζοντες τὴν ἐπὶ τὸν θάνατον ὁμοίως ἦγον. αἴσωπος δὲ μηδὲ νῦν τὸ ὑπ' αὐτοῦ λεγομένων ὁρῶν καμπτομένους, πάλιν φησίν. ἄνδρες ἀνήμεροι καὶ φονῶντες ἀκούσατε. γεωργός τις ἐπὶ ἀγροῦ γεγηρακὼς, ἐπεὶ μηδέποτε εἰσῆλθεν εἰς ἄστυ, παρεκάλει τοὺς οἰκείους τοῦτο θεάσασθαι. οἱ δὲ, ζεύξαντες ὀνάρια, καὶ ἐπὶ ἀπήνης αὐτὸν ἀναβιβασάμενοι, μόνον ἐκέλευσαν ἐλαύνειν. ὁδεύοντι δὲ, χειμῶνος

ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ.

ΑΕΤΟΣ, ΚΑΙ ΑΛΩΠΗΞ.



Ἀετὸς καὶ ἀλώπηξ φιλιωθέντες, πλησίον ἀλλήλων οἰκεῖν ἔγνωσαν, βεβαίωσιν φιλίας ποιούμενοι τὴν συνήθειαν. ὁ μὲν οὖν ἐφ᾽ ὑψηλοῦ δένδρου τὴν καλιὰν ἐπήξατο. ἡ δ᾽ ἀλώπηξ, ἐν τοῖς ἐγγίστα θάμνοις ἐτεκνοποιήσατο. ἐπὶ νομὴν οὖν ποτε τῆς ἀλώπεκος προελθούσης, ὁ ἀετὸς τροφῆς ἀπορῶν, καταπτὰς ἐπὶ τὴν θάμνον, καὶ τὰ τέκνα ταύτης ἀναρπάσας, ἅμα τοῖς αὐτοῦ νεοττοῖς ἐθοινήσατο. ἡ δ᾽ ἀλώπηξ ἐπανελθοῦσα, καὶ τὸ πραχθὲν μαθοῦσα, οὐ τοσοῦτον ἐπὶ τῷ τῶν τέκνων ἠνιάθη θανάτῳ, ὅσον ἐπὶ τῷ τῆς ἀμύνης ἀπόρῳ. χερσαία γὰρ οὖσα, πτηνὸν διώκειν οὐχ οἵα τε ἦν. διὸ καὶ πόῤῥωθεν στᾶσα, τοῦθ᾽ ὃ καὶ τοῖς ἀδυνάτοις ἐστὶν εὔπορον, τῷ ἐχθρῷ κατηρᾶτο. οὐ πολλῷ δ᾽ ὕστερον, αἶγά τινων ἐπ᾽ ἀγροῦ θυόντων, καταπτὰς ὁ ἀετὸς, μέρος τι τῶν θυμάτων σὺν ἐμπύροις ἄνθραξιν ἥρπασε, κᾀπὶ τὴν νεοττιὰν ἤγαγεν. ἀνέμου δὲ σφοδροῦ πνεύσαντος τηνικαῦτα, καὶ φλογὸς ἀναδοθείσης, οἱ ἀετιδεῖς ἄπτηνες ἔτι τυγχάνοντες, ὀπτηθέντες εἰς γῆν κατέπεσον. ἡ δ᾽ ἀλώπηξ ἐπιδραμοῦσα, ἐν ὄψει τοῦ ἀετοῦ πάντας κατέφαγεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν ἐκ τῶν ἠδικημένων φύγωσι τιμωρίαν δι᾽ ἀσθένειαν, ἀλλὰ τήν γε θείαν δίκην οὐ διακρούσονται.

Ἀετὸς, καὶ κάνθαρος.

Λαγωὸς ὑπ᾽ ἀετοῦ διωκόμενος, πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ᾽ αὐτοῦ σωθῆναι, ὁ δὲ κάνθαρος ἠξίου τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκίζων αὐτὸν κατὰ τοῦ μεγίστου διὸς, ἢ μὴν μὴ καταφρονῆσαι διὰ μικρότητος αὐτοῦ. ὁ δὲ, μετ᾽ ὀργῆς τῇ πτέρυγι ῥαπίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἁρπάσας κατέφαγεν. ὁ δὲ κάνθαρος τῷ ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τούτου καταμαθεῖν. καὶ δὴ προσελθὼν, τὰ ᾠὰ τούτου κατακυλίσας διέφθειρε. τοῦ δὲ δεινὸν ποιησαμένου, εἴ τις τοῦτο τολμήσειε, κἀπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα τοῦτον διέθηκεν. ὁ δ᾽ ἀετὸς ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ἐπὶ τὸν δία, τούτου γὰρ ἱερὸς εἶναι λέγεται, τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ᾠῶν ἔθηκε, τῷ θεῷ ταῦτα παραθέμενος, καὶ ἱκετεύσας φυλάττειν. ὁ κάνθαρος δὲ κόπρου σφαῖραν ποιήσας, καὶ ἀναβὰς, ἐπὶ τοῦ κόλπου τοῦ διὸς ταύτην καθῆκεν. ὁ δὲ Ζεὺς ἀναστὰς, ἐφῶ τὴν ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ᾠὰ διέρριψεν ἐκλαθόμενος. ἃ καὶ συνετρίβη πεσόντα. μαθὼν δὲ πρὸς τοῦ κανθάρου, ὅτι ταῦτ᾽ ἔδρασε τὸν ἀετὸν ἀμυνόμενος, οὐ γὰρ μὴ τὸν κάνθαρον ἐκεῖνος μόνον ἠδίκησεν, ἀλλὰ καὶ εἰς τὸν δία αὐτὸν ἠσέβησε, πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα, κάνθαρον εἶναι τὸν λυποῦντα, καὶ δὴ καὶ δικαίως λυπεῖν. μὴ βουλόμενος οὖν τὸ γένος τῶν ἀετῶν σπανισθῆναι, συνεβούλευε

τῷ

τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀετὸν θέσθαι. τῷ δὲ μὴ πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὸν τῶν ἀετῶν μετέθηκε τοκετὸν, ἡνίκα ἂν μὴ φαίνωνται κάνθαροι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, μηδενὸς καταφρονεῖν, λογιζομένους ὡς οὐδείς ἐστιν, ὃς προπηλακισθεὶς, οὐκ ἂν δυνηθείη ἑαυτῷ ἐπαμῦναι.

Ἀηδὼν, καὶ ἱέραξ.

Ἀηδὼν ἐπὶ δένδρου καθεζομένη, κατὰ τὸ εἰωθὸς ᾖδεν. ἱέραξ δὲ θεασάμενος καὶ τροφῆς ἀπορῶν, συνείληφεν ἐπιπτάς. ἡ δ' ἀναιρεῖσθαι μέλλουσα, ἐδεῖτο τοῦ ἱέρακος μὴ βρωθῆναι. μὴ δὲ γὰρ ἱκανὴν εἶναι ἱέρακος γαστέρα πληροῦν. δεῖν δὲ αὐτὸν τροφῆς προσδεόμενον, ἐπὶ τὰ μείζω τῶν ὀρνέων τρέπεσθαι. καὶ ὁ ἱέραξ ὑπολαβὼν εἶπεν, ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην τροφὴν ἀφεὶς, τὰ μὴ φαινόμενά πω διώκοιμι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οὕτως ἀλόγιστοί εἰσιν, οἳ δι' ἐλπίδα πλειόνων ἀδήλων, τὰ ἐν χερσὶ προϊέμενοι.

Ἀλώπηξ, καὶ τράγος.

Ἀλώπηξ καὶ τράγος διψῶντες, εἰς φρέαρ κατέβησαν. μετὰ δὲ τὸ πιεῖν, τοῦ τράγου σκεπτομένου τὴν ἄνοδον, ἡ ἀλώπηξ ἔφη, θάρσει. χρήσιμόν τι καὶ εἰς τὴν ἀμφοτέρων σωτηρίαν ἐπινενόηκα. εἰ γὰρ ὄρθιος σταθεὶς, τοὺς ἐμπροσθίους τῶν ποδῶν τῷ τοίχῳ προσερείσεις, καὶ τὰ κέρατα ὁμοίως εἰς τοὔμπροσθεν κλίνεις, ἀναδραμοῦσα διὰ τῶν σῶν αὐτὴ νώτων

καὶ κεράτων, καὶ ἔξω τοῦ φρέατος ἐκεῖθεν πηδήσασα, καὶ σὲ μετὰ τοῦτο ἀνασπάσω ἐντεῦθεν. τοῦ δὲ τράγου πρὸς τοῦτο ἑτοίμως ὑπηρετησαμένου, ἐκείνη τοῦ φρέατος οὕτως ἐκπηδήσασα, ἐσκίρτα περὶ τὸ στόμιον ἡδομένη. ὁ δὲ τράγος αὐτὴν ἐμέμφετο, ὡς παραβαίνουσαν τὰς συνθήκας. ἡ δ᾽ ἀλλ᾽ εἰ τοσαύτας εἶπε φρένας ἐκέκτησο, ὁπόσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον ἂν κατέβης, πρὶν ἢ τὴν ἄνοδον σκέψασθαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τὸν φρόνιμον ἄνδρα δεῖ πρότερον τὰ τέλη σκοποῦντα τῶν πραγμάτων, εἶθ᾽ οὕτως αὐτοῖς ἐγχειρεῖν.

Ἀλώπηξ, καὶ λέων.

Ἀλώπηξ μή πω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον. ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάρσησεν, ὡς καὶ προσελθοῦσα, διαλεχθῆναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια, καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

Αἴλουρος, καὶ ἀλεκτρυών.

Αἴλουρος συλλαβὼν ἀλεκτρυόνα, μετ᾽ εὐλόγου τοῦτον αἰτίας ἠβουλήθη καταφαγεῖν. καὶ δὴ κατηγόρει αὐτοῦ, λέγων ὡς ὀχληρὸς εἴη τοῖς ἀνθρώποις, νύκτωρ κεκραγὼς, καὶ μὴ συγχωρῶν ὕπνου τυγχάνειν. τοῦ δ᾽ ἀπολογουμένου, ἐπὶ τῇ ἐκείνων ὠφελείᾳ τοῦτο ποιεῖν, ὡς ἐπὶ τὰ συνήθη τῶν ἔργων ἐγείρεσθαι, πάλιν

ὁ αἴλουρος

ὁ αἴλουρος αἰτίαν ἐπέφερεν, ὡς ἀσεβὴς εἴη περὶ τὴν φύσιν, μητρὶ καὶ ἀδελφαῖς συμμιγνύμενος. τοῦ δὲ, καὶ τοῦτο πρὸς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος, πολλῶν αὐτοῖς ἐντεῦθεν ᾠῶν τικτομένων, ὁ αἴλουρος εἰπὼν, ἀλλ᾽ εἰ σύ γε πολλῶν εὐπορεῖς εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐ μενῶ, τοῦτον κατεθοινήσατο.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν αἱρουμένη, εἰ μὴ μετ᾽ εὐλόγου δυνηθείη προσχήματος, ἀπαρακαλύπτως γε μὴν πονηρεύεται.

Ἀλώπεκες.

Ἀλώπηξ ἐν παγίδι ληφθεῖσα, καὶ ἀποκοπείσης τῆς οὐρᾶς διαδρᾶσα, ἀβίωτον ὑπ᾽ αἰσχύνης ἡγεῖτο τὸν βίον. ἔγνω οὖν καὶ τὰς ἄλλας ἀλώπεκας τοῦτ᾽ αὐτὸ νουθετῆσαι, ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψειεν αἶσχος. καὶ δὴ πάσας ἀθροίσασα, παρῄνει τὰς οὐρὰς ἀποκόπτειν, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο τὸ μέλος ὂν, ἀλλὰ καὶ περιττὸν βάρος προσηρτημένον. ὑπολαβοῦσα δέ τις αὐτῶν εἶπεν, ὦ αὕτη. ἀλλ᾽ εἰ οὐ σοὶ τοῦτο προσέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων, οὐ δι᾽ εὔνοιαν τὰς πρὸς τοὺς πέλας ποιοῦνται συμβουλίας, διὰ δὲ τὸ αὐτοῖς συμφέρον.

Ἀλώπηξ, καὶ βάτος.

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὠλισθήσασα, καταπίπτειν ἔμελλεν, ἐπελάβετο πρὸς βοήθει

 αν βάτου,

αμ βάτυ. καὶ δὴ τοὺς πόδας ἐπὶ τοῖς ἐκείνης κέντροις αἱμάξασα, καὶ ἀλγήσασα, πρὸς αὐτὴν εἶπεν. οἴμοι. καταφυγοῦσάν με γὰρ ἐπὶ σὲ ὡς ἐπὶ βοηθὸν, σὺ χεῖρον διέθηκας. ἀλλ' ἐσφάλης ὦ αὕτη φησὶν ἡ βάτος, ἐμοῦ βουληθεῖσα ἐπιλαβέσθαι, ἣ τοῖς πάντων ἐπιλαμβάνεσθαι εἴωθα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων μάταιοι, ὅσοι βοηθοῖς προσέχουσιν, οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

Ἀλώπηξ, καὶ κροκόδειλος.

Ἀλώπηξ, καὶ κροκόδειλος ἠμφισβήτουν περὶ εὐγενείας. πολλὰ δὲ τοῦ κροκοδείλου ὑπερήφανα περὶ τῶν προγόνων διεξιόντος λαμπρότητος, ὡς γεγυμνασιαρχηκότων, ἡ ἀλώπηξ ὑπολαβοῦσα, ὦ τᾶν εἶπεν, ἀλλὰ κᾂν μὴ σὺ λέγῃς, ἀλλ' ἀπὸ τοῦ δέρματός γε φαίνῃ, ὡς ἐκ παλαιῶν ἐτῶν εἶ γεγυμνασμένος.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ψευδομένων ἀνδρῶν, ἔλεγχος τὰ πράγματα γίνεται.

Ἀλεκτρυόνες, καὶ πέρδιξ.

Ἀλεκτρυόνας τὶς ἔχων ἐπὶ τῆς οἰκίας, πριάμενος καὶ πέρδικα σὺν ἐκείνοις ἀφῆκε νέμεσθαι. τῶν δὲ, τυπτόντων αὐτὸν καὶ ἀπελαυνόντων, ἐκεῖνος ἠθύμει σφόδρα, νομίζων, ὡς ἀλλόφυλος ταῦτα πάσχειν ὑπὸ τῶν ἀλεκτρυόνων. ὡς δὲ μετὰ μικρὸν κἀκείνους ἑώρακε μαχομένους καὶ ἀλλήλους κόπτοντας, τῆς λύπης ἀπολυθεὶς, εἶπεν. ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυπήσομαι, ὁρῶν καὶ αὐτοὺς μαχομένους ἀλλήλοις.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι, ῥᾳδίως φέρουσι τὰς παρὰ τῶν ἀλλοτρίων ὕβρεις, ὅταν αὐτοὺς ἴδωσι μὴ δὲ τῶν οἰκείων ἀπεχομένους.

Ἀλώπηξ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκίου εὐφυῶς κατεσκευασμένην. ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν ἔφη, ὢ οἵα κεφαλή, καὶ ἐγκέφαλον οὐκ ἔχει.

Ἐπιμύθιον.

ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλογίστους.

Ἀνθρακεὺς, καὶ κναφεύς.

Ἀνθρακεὺς ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου τὸν κναφέα παραγενόμενον αὐτῷ συνοικῆσαι. ὁ δὲ κναφεὺς ὑπολαβὼν ἔφη, ἀλλ᾽ οὐκ ἂν τοῦτο δυναίμην ἔγωγε πρᾶξαι. δέδια γὰρ, μή πως ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

Ἁλιεῖς.

Ἁλιεῖς εἷλκον σαγήνην. βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον τε καὶ ἐσκίρτων, πολλὴν εἶναι τὴν ἄγραν νομίζοντες. ὡς δ᾽ ἐπὶ τῆς ἠϊόνος ταύτην ἑλκύσαντες, τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ᾽ ἐν αὐτῇ παμμεγέθη, ἀθυμεῖν ἤρξαντο καὶ ἀλύειν, οὐ τοσοῦτον ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι, ὅσον ὅτι καὶ τἀναντία προὔπειλήφασιν. εἷς δέ τις ἐν αὐτοῖς πρεσβύτερος εἶπε, μὴ ἀχθώμεθα ὦ ἑταῖροι. τῇ γὰρ ἡδονῇ ὡς ἔοικεν, ἀδελφή

ἐστὶν ἡ λύπη. καὶ ἡμᾶς οὖν ἔδει τοσαῦτα προηδυνηθέντας, πάντως τι καὶ λυπηθῆναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀποτυχίαις.

Κομπαστής.

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθὼν, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ κἀν τῇ ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. πρὸς τοῦτο δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. τῶν δὲ παρόντων τις ὑπολαβὼν, ἔφη. ὦ οὗτος, εἰ ἀληθές τοῦτ' ἐστὶν, οὐδὲν δεῖ σοι μαρτύρων. ἰδοὺ ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστιν.

Ἀδύνατα ἐπαγγελλόμενος.

Ἀνὴρ πένης νοσῶν, καὶ κακῶς διακείμενος, ἐπειδὴ πρὸς τῶν ἰατρῶν ἀπεγνώσθη, τῶν θεῶν ἐδεῖτο, ὡς εἰ τὴν ὑγίειαν αὐτῷ πάλιν ἐπανελθεῖν ποιήσειαν, ἑκατὸν βόας αὐτοῖς προσοίσειν ὑπισχνούμενος εἰς θυσίαν. τῆς δὲ γυναικὸς αὐτοῦ πυνθανομένης, καὶ ποῦ σοι ταῦτα ἦν ὑγιάνῃς, ἐκεῖνος ἔφη, οἴει γὰρ ἀναστῆναί με ἐντεῦθεν, ἵν' οἱ θεοί ταῦτά με ἀπαιτήσωσιν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ῥαδίως καταπαγγέλλονται, ἃ πρᾶξαι ἔργῳ οὐ προσδοκῶσιν.

Κακοπράγμων.

Ἀνὴρ κακοπράγμων εἰς τὸν ἐν Δελφοῖς ἧκεν ἀπόλλω

ἀπόλλωνα, πειρᾶσαι τοῦτον βουλόμενος. καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρί, καὶ τοῦτο τῇ ἐσθῆτι σκεπάσας, ἔστη τε τῷ τρίποδι ἐγγίσα, καὶ ἤρετο τὸν θεὸν λέγων, ἄπολλον, ὃ μετὰ χεῖρας φέρω πότερον ἔμπνουν ἐστὶν, ἢ ἄπνουν, βουλόμενος ὡς εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον. εἰ δὲ ἔμπνουν, εὐθὺς ἀποπνίξας, νεκρὸν ἐκεῖνο προενεγκεῖν. ὁ δέ γε θεὸς τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν. ὁπότερον ὦ οὗτος βούλει ποιῆσαι, ποίησον. παρὰ σοὶ κεῖται γοῦν τοῦτο πρᾶξαι, ἤτοι ζῆν ὃ κατέχεις, ἢ νεκρὸν ὑποδεῖξαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαραλόγιστον καὶ ἀλάθητον.

Ἁλιεῖς.

Ἁλιεῖς ἐξελθόντες εἰς ἄγραν, ἐπειδὴ πολλὴν χρόνον ταλαιπωρήσαντες, οὐδὲν εἷλον, σφόδρα τε ἀθύμουν, καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. εὐθὺς δὲ θύννος ὑπό τινος μεγίστου διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. οἱ δὲ τοῦτον λαβόντες, μεθ᾽ ἡδονῆς ἀνεχώρησαν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἃ μὴ τέχνη παρέχει, ταῦτα τύχη ἐδωρήσατο.

Φέναξ.

Ἀνὴρ πένης νοσῶν, ηὔξατο τοῖς θεοῖς εἰ διασωθείη, βοῦς ἑκατὸν εἰς θυσίαν προσοίσειν. οἱ δὲ θεοὶ πειρᾶσαι τοῦτον βουλόμενοι, τοῦ πάθους ἀπήλλαξαν. ὁ δὲ ἀναστὰς, ἐπειδὴ βοῶν ἠπόρει, στεατίνους βοῦς ἑκατὸν πλάσας ἐπὶ τοῦ βωμοῦ θεὶς ὡλοκαύτωσεν. οἱ δὲ θεοὶ βουλόμενοι

λόμενοι αὐτὸν ἀμύνασθαι, ὄναρ ἐπιστάντες αὐτῷ εἶπον. ἄπελθε εἰς τὸν αἰγιαλὸν εἰς τόνδε τὸν τόπον. ἐκεῖ δὲ ἀττικὰς χιλίας εὑρήσεις. ἐκεῖνος δὲ διϋπνισθεὶς, σὺν ἡδονῇ καὶ σπουδῇ πρὸς τὸν ὑποδειχθέντα τόπον ἀφίκετο, τὸ χρυσίον διερευνῶν. ἐκεῖ δὲ δὴ πειραταῖς περιτυχὼν, ὑπ' αὐτῶν συνελήφθη. ἁλοὺς δὲ ἤδη, ἀφεθῆναι τῶν πειρατῶν ἐδεῖτο, χίλια χρυσίου τάλαντα δώσειν αὐτοῖς ὑπισχνούμενος. ὡς δ' οὐκ ἐπιστεύετο, ἀπαχθεὶς ὑπ' αὐτῶν ἀπεμπωλήθη χιλίων δραχμῶν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τοῖς ψευδέσι τῶν ἀνθρώπων ἐχθραίνει τὸ θεῖον.

Βάτραχοι.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο. θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν. καὶ δὴ βαθεῖ περιέτυχον φρέατι. ὅπερ ἰδὼν ἅτερος, θατέρῳ φησί. συγκατέλθωμεν ὦ οὗτος εἰς τόδε τὸ φρέαρ. ὁ δέ, ὑπολαβὼν εἶπεν. ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

Γέρων, καὶ θάνατος.

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους, κἀπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδισεν, ἀπειρηκὼς, ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν αἰτίαν πυνθανομένου δι' ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη, ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπι-

θῇς

θῆς μοι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος ὤν, κἂν μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

Γραῦς, καὶ ἰατρός.

Γυνὴ γραῦς ἀλγοῦσα τοὺς ὀφθαλμούς, εἰσκαλεῖταί τινα τῶν ἰατρῶν ἐπὶ μισθῷ, συμφωνήσασα, ὥστε εἰ μὲν θεραπεύσειεν αὐτήν, τὸν ὁμολογηθέντα μισθὸν αὐτῷ δώσειν. εἰ δὲ μή, μηδὲν δώσειν. ἐνεχείρησε μὲν οὖν ὁ ἰατρὸς τῇ θεραπείᾳ. καθ' ἡμέραν δὲ φοιτῶν ὡς τὴν πρεσβύτιν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῆς χρίων, ἐκείνης μηδαμῶς ἀναβλέπειν ἐχούσης τὴν ὥραν ἐκείνην ὑπὸ τοῦ χρίσματος, αὐτὸς ἕν τι τῶν τῆς οἰκίας σκευῶν ἀφαιρούμενος, ὁσημέραι ἀπῄει. ἡ δ' οὖν γραῦς, τὴν ἑαυτῆς περιουσίαν ἑώρα καθ' ἑκάστην ἐλαττουμένην ἐπὶ τοσοῦτον, ὡς καὶ τέλος παντάπασιν αὐτῇ θεραπευθείσῃ μηδὲν ὑπολειφθῆναι. τοῦ δ' ἰατροῦ τοὺς συμφωνηθέντας μισθοὺς αὐτὴν ἀπαιτοῦντος ὡς καθαρῶς βλέπουσαν ἤδη, καὶ τοὺς μάρτυρας παραγαγόντος, μᾶλλον μὲν οὖν εἶπεν ἐκείνη, τανῦν οὐδ' ὁτιοῦν βλέπω. ἡνίκα μὲν γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν. νῦν δ' ὅτε με σὺ βλέπειν φής, οὐδ' ὁτιοῦν ἐκείνων ὁρῶ.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων δι' ὧν πράττουσι, λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

Γεωργός, καὶ παῖδες αὐτοῦ.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς, ἔφη. παῖδες ἐμοὶ, ἐγὼ μὲν ἤδη τὸν βίον ὑπέξειμι. ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται ζητήσαντες εὑρήσετε πάντα. οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν, καὶ θησαυρῷ μὲν οὐ περιέτυχον. ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάματος, θησαυρός ἐστι τοῖς ἀνθρώποις.

Δεσπότης, καὶ κύνες.

Ἀνήρ τις ὑπὸ χειμῶνος ἐν ἀγρῷ αὐτοῦ προσειληφθεὶς, πρῶτα μὲν, τὰ πρόβατα κατέφαγεν, εἶτα τὰς αἶγας. τοῦ δὲ χειμῶνος ἐπικρατοῦντος, καὶ τοὺς ἐργάτας βοῦς σφάξας, ἐθοινήσατο. οἱ δὲ κύνες ταῦτα ἰδόντες, διελέχθησαν πρὸς ἀλλήλους, φευγωμεν ἀλλ' ἡμεῖς γε ἐντεῦθεν. εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τούτους μάλιστα φεύγειν καὶ φυλάττεσθαι χρὴ, οἵ τινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

Γυνὴ, καὶ ὄρνις.

Γυνὴ χήρα τις ὄρνιν εἶχεν, καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. νομίσασα δὲ ὡς εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. ἡ δ' ὄρνις πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τίκτειν ἠδύνατο.

Ἐπιμύ

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντα ἀποβάλλουσι.

Κυνόδηκτος.

Δηχθείς τις ὑπὸ κυνός, τὸν ἰασόμενον περιήει ζητῶν. ἐντυχὼν δέ τις αὐτῷ, καὶ γνοὺς ὃ ζητεῖ, ὦ οὗτος εἶπεν, εἰ σώζεσθαι βούλει λαβὼν ἄρτον, καὶ τούτῳ τὸ αἷμα τῆς πληγῆς ἐκμάξας, τῷ δακόντι κυνὶ φαγεῖν ἐπίδος. κἀκεῖνος γελάσας ἔφη. ἀλλ' εἰ τοῦτο ποιήσω, δεῖ με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δηχθῆναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ εὐεργετούμενοι, μᾶλλον ἀδικεῖν παροξύνονται.

Νεανίσκοι, καὶ μάγειρος.

Δύο νεανίσκοι μαγείρῳ παρεκάθηντο. καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων μέρος τι τῶν κρεῶν ὑφελόμενος, εἰς τὸν θατέρου καθῆκε κόλπον. ἐπιστραφέντος δὲ τοῦ μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν. ὁ δὲ ἔχων, μὴ εἰληφέναι. ὁ δὲ μάγειρος αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν. ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γε ἐπιορκούμενον θεὸν οὔκουν λήσεσθε.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε θεὸν οὐ λήσομεν.

Ἐχθροί.

Δύο τινὲς ἀλλήλοις ἐχθραίνοντες, ἐπὶ τῆς αὐτῆς νεὼς

νεὼς ἔπλεον. ὧν ἅπερ μὲν ἐπὶ τῆ πρύμνης, ἅπερ δὲ ἐπὶ τῆ πρώρας ἐκάθητο. χειμῶνος δὲ ἐπιγενομένου, καὶ τῆς νεὼς μελλούσης ἤδη καταποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης τὸν κυβερνήτην ἤρετο, πότερον τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει καταβαπτίζεσθαι. τοῦ δὲ τὴν πρώραν εἰπόντος, ἀλλ' ἔμοι γε οὐκ ἔστι λυπηρὸν εἴπεν ὁ θάνατος, εἴ γε ὁρᾶν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνήσκοντα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων οὐδὲν τῆς ἑαυτῶν βλάβης φροντίζουσιν, εἰ τοὺς ἐχθροὺς μόνον ἴδωσι πρὸ αὐτῶν κακουμένους.

Αἴλουρος, καὶ μύες.

Ἐν οἰκίᾳ τινὶ πολλῶν μυῶν ὄντων αἴλουρος τοῦτο γνοὺς ἧκεν ἐνταῦθα. καὶ καθέκαστον αὐτῶν συλλαμβάνων κατήσθιεν. οἱ δὲ, καθ' ἑκάστην ἑαυτοὺς ἀναλισκομένους ὁρῶντες, ἔφασαν πρὸς ἀλλήλους, μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπασιν ἀπολώμεθα. τὸ γὰρ αἰλούρου μὴ δυναμένου δεῦρο διϊκνεῖσθαι, ἡμεῖς σωθησόμεθα. ὁ δὲ αἴλουρος μηκέτι τῶν μυῶν κατιόντων, ἔγνω δι' ἐπινοίας αὐτοὺς σοφιζόμενος ἐκκαλέσασθαι. καὶ δὴ ἀπὸ πασσάλου τινὸς ἑαυτὸν ἀναβὰς ἀπηώρησε, καὶ προσεποιεῖτο νεκρὸν εἶναι. τῶν δὲ μυῶν τὶς παρακύψας καὶ ἰδὼν αὐτὸν, ἔφη. ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαί σοι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ. ὅτι τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν, τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν διαπατῶνται ταῖς ὑποκρίσεσιν.

Ἀλώπηξ, καὶ πίθηκος.

Ἐν συνόδῳ ποτὲ τῶν ἀλόγων ζώων ὠρχήσατο πίθηκος. καὶ εὐδοκιμήσας, βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. ἀλώπηξ δ' αὐτῷ φθονήσασα, ὡς ἔν τινι παγίδι κρέας ἐθεάσατο, τὸν πίθηκον λαβοῦσα, ἐνταῦθα ἤγαγεν, ὡς εὕροι μὲν αὐτὴ λέγουσα θησαυρὸν τοῦτον, μὴ μέντοι καὶ χρήσασθαι αὐτῷ. τῷ βασιλεῖ γὰρ τοῦτον ὁ νόμος δίδωσι. καὶ προὐτρέπετο αὐτὸν ἅτε δὴ βασιλέα τὸν θησαυρὸν ἀνελέσθαι. ὁ δ' ἀπερισκέπτως προσελθὼν, καὶ συλληφθεὶς ὑπὸ τῆς παγίδος, ὡς ἐξαπατήσασαν ἐμέμφετο τὴν ἀλώπεκα. ἡ δὲ πρὸς αὐτὸν, ὦ πίθηκε, τοιαύτην σὺ μωρίαν ἔχων τῶν ἀλόγων βασιλεύσεις;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πράξεσί τισιν ἀπερισκέπτως ἐπιχειροῦντες, δυστυχήμασι περιπίπτουσι.

Θύννος, καὶ δελφίν.

Θύννος διωκόμενος ὑπὸ δελφῖνος, καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ σφοδρᾶς ῥύμης ἐκπεσὼν εἴς τινα νῆσον. ὑπὸ δὲ τῆς ὁμοίας ῥύμης καὶ ὁ δελφὶν αὐτῷ συνεξώκειλεν. ὁ δὲ θύννος ἐπιστραφεὶς, καὶ λειποψυχοῦντα τὸν δελφῖνα ἑωρακὼς, εἶπεν. οὐκέτι μοι ὁ θάνατος λυπηρὸς, ὁρῶντι τὸν αἴτιον γεγονότα μοι τούτου, σὺν ἐμοὶ ἀποθνήσκοντα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ῥᾳδίως τὰς συμφορὰς οἱ ἄνθρωποι φέρουσι, τοὺς τούτων αἰτίους δυστυχοῦντας ὁρῶντες.

Ἰατρὸς

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, οὐδένα λόγον τῶν χρημάτων ποιοῦνται.

Κύων, καὶ μάγειρος.

Κύων εἰσπηδήσας εἰς μαγειρεῖον, καὶ τοῦ μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας ἔφυγεν. ὁ δὲ μάγειρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν. ὦ οὗτος, ἴσθι ὡς ὅπου περ ἂν ᾖς, φυλάξομαί σε. οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν ἔδωκας.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις, μαθήματα γίνονται.

Κύων, καὶ λύκος.

Κύων πρὸ ἐπαύλεώς τινος ἐκάθευδε. λύκου δὲ ἐπιδραμόντος, καὶ βρῶμα μέλλοντος θήσειν αὐτὸν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῦσαι. νῦν μὲν γάρ φησι λεπτός εἰμι καὶ ἰσχνός. ἂν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους. κἀγὼ τηνικαῦτα πολλὰ φαγὼν, πιμελέστερος ἔσομαι. καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι. ὁ μὲν οὖν λύκος πεισθεὶς, ἀπῆλθε. μεθ' ἡμέρας δὲ ἐπανελθὼν, εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα. καὶ στὰς κάτωθεν, πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. καὶ ὁ κύων, ἀλλ' ὦ λύκε εἰ ταποτοῦδε πρὸ τῆς ἐπαύλεως με ἴδοις καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων ὅταν περί τι κινδυνεύσαντες σωθῶσι, διὰ βίου τοῦτο φυλάττονται.

Κύων, καὶ ἀλεκτρυών.

Κύων καὶ ἀλεκτρυὼν ἑταιρίαν ποιησάμενοι, ὥδευον. ἑσπέρας δὲ καταλαβούσης, ὁ μὲν ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδεν ἀναβάς. ὁ δὲ κύων, πρὸς τῇ ῥίζῃ τοῦ δένδρου κοίλωμα ἔχοντος. τοῦ δὲ ἀλεκτρυόνος κατὰ τὸ εἰωθὸς νύκτωρ φωνήσαντος, ἀλώπηξ ἀκούσασα πρὸς αὐτὸν ἔδραμε. καὶ στᾶσα κάτωθεν πρὸς ἑαυτὴν κατελθεῖν ἠξίου. ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῶον ἔχον ἀσπάσασθαι. τοῦ δὲ, εἰπόντος τὸν θυρωρὸν πρότερον διυπνίσαι ὑπὸ τὴν ῥίζαν καθεύδοντα, ὡς ἐκείνου ἀνοίξαντος κατελθεῖν, κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ κύων ἄφνως πηδήσας, αὐτὴν διεσπάραξεν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς ἐχθροὺς ἐπελθόντας, πρὸς ἰσχυροτέρους πέμπουσι παραλογιζόμενοι.

Λέων, καὶ βάτραχος.

Λέων ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. προσμείνας δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, μὴ δεῖν πρὸ τῆς ὄψεως δι' ἀκοῆς μόνης ταράττεσθαι.

Λέων, καὶ ὄνος, ἀλώπηξ.

Λέων, καὶ ὄνος, καὶ ἀλώπηξ, κοινωνίαν ποιησά-

μῦνοι, ἦλθον πρὸς ἄγραν. πολλῆς οὖν θήρας συλλεχθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν αὐτοῖς. ὁ δὲ, τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προυτρέπετο. καὶ ὁ λέων θυμωθεὶς, τὸν ὄνον κατέφαγεν. εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν. ἡ δ᾽ εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπεν. καὶ ὁ λέων πρὸς αὐτήν, τίς σε ὦ βελτίστη διαιρεῖν οὕτως ἐδίδαξεν. ἡ δ᾽ εἶπεν, ἡ τοῦ ὄνου συμφορά.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις, τὰ τῶν πέλας δυστυχήματα.

Λέων, καὶ ἄρκτος.

Λέων, καὶ ἄρκτος ὁμοῦ βουνεύρῳ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. δεινῶς οὖν ὑπ᾽ ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιάσαι, ἀπαυδήσαντες ἔκειντο. ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα, καὶ τὸ βούνευρον ἐν τῷ μέσῳ κείμενον, τοῦτο διὰ μέσου ἀμφοῖν διαδραμοῦσα, καὶ ἁρπάσασα, φεύγουσα ᾤχετο. οἱ δὲ, βλέποντες μὲν αὐτήν, μὴ δυνάμενοι δὲ ἀναστῆναι, δείλαιοι ἡμεῖς εἶπον ὅτι δι᾽ ἀλώπεκα ἐμοχθοῦμεν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἄλλων κοπιώντων, ἄλλοι κερδαίνουσιν.

Μάντις.

Μάντις ἐπ᾽ ἀγορᾶς καθήμενος, διελέγετο. ἐπιστάντος δέ τινος αἴφνης καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν, καὶ πάντα τὰ ἔνδον ἀφηρημένα, ἀνεπήδησέ τε στενάξας,

καὶ δρομαῖος ᾔει. ἐξέχοντα δὲ τὶς αὐτὴν θεασάμενος· ὦ οὗτος εἶπεν, ὁ τὰ ἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προεμαντεύου.

Ἐπιμύθιον.

Ὁ μῦθος, πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

Μύρμηξ, καὶ περιστερά.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος ἀπεπνίγετο. περιστερὰ δὲ τοῦτο θεασαμένη, κλῶνα δένδρου περιελοῦσα, εἰς τὴν πηγὴν ἔρριψεν. ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ διεσώθη. ἰξευτὴς δέ τις μετὰ τοῦτο τοὺς καλάμους συνθεὶς, ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει. τοῦτο δὲ ὁ μύρμηξ ἑωρακὼς, τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. ὁ δὲ, ἀλγήσας, τούς τε καλάμους ἔρριψε, καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν.

Ἐπιμύθιον

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι.

Νυκτερὶς, καὶ βάτος, καὶ αἴθυια.

Νυκτερὶς, καὶ βάτος, καὶ αἴθυια, ἑταιρείαν ποιησάμεναι, ἐμπορικὸν διέγνωσαν βίον ζῆν. ἡ μὲν οὖν νυκτερὶς ἀργύριον δανεισαμένη, κατέθηκεν εἰς τὸ μέσον. ἡ δὲ βάτος, ἐσθῆτα μεθ' ἑαυτοῖς ἔλαβεν. ἡ δὲ αἴθυια, τρίτη, χαλκόν. καὶ ἀπέπλευσαν. χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσαντες αὐτοὶ ἐπὶ τὴν γῆν διεσώθησαν. ἐξ ἐκείνου τοίνυν ἡ μὲν αἴθυια τοῖς αἰγιαλοῖς ἀεὶ παρεδρεύει, μή που τὸν χαλκὸν ἐκβάλλῃ ἡ θάλασσα. ἡ δὲ

νυκτερὶς τοὺς δανειστὰς φοβουμένη, διὰ μὲν ἡμέρας οὐ φαίνεται, νύκτωρ δὲ ἐπὶ νομὴν ἔξεισιν. ἡ δὲ βάτος, τῶν παριόντων ἐσθῆτος ἐπιλαμβάνεται, εἴ πως τὴν οἰκείαν ἐπιγνοίη ζητοῦσα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι περὶ ἃ σπουδάζομεν, τούτοις ὕστερον περιπίπτομεν.

Νοσῶν, καὶ ἰατρός.

Νοσῶν τις καὶ ὑπὸ τοῦ ἰατροῦ ἐρωτώμενος ὅπως διετέθη, πλέον εἶπε τοῦ δέοντος ἱδρωκέναι. ὁ δὲ, ἀγαθὸν ἔφη τοῦτ' εἶναι. ἐκ δευτέρου δὲ παρ' αὐτοῦ πάλιν ἐρωτηθεὶς ὅπως ἔχε, φρίκῃ συνεχεθεὶς εἶπε σφοδρῶς διαπτινάχθαι. ὁ δὲ, καὶ τοῦτ' ἀγαθὸν ἔφησεν εἶναι. ἐκ δὲ τρίτων αὖθις ὅπως διήγαγεν. εἶπεν ὑδέρῳ περιπεπτωκέναι. ὁ δὲ, καὶ τοῦτο πάλιν ἀγαθὸν εἶπεν εἶναι. εἶτα, τῶν οἰκείων τινὸς αὐτὸν ἐρωτήσαντος ὅπως ἔχει, ἐγὼ εἶπεν ὦ οὗτος, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι μάλιστα τῶν ἀνθρώπων δυσχεραίνομεν τοὺς πρὸς χάριν ἀεὶ βουλομένους λέγειν.

Ξυλευόμενος, καὶ ἑρμῆς.

Ξυλευόμενός τις παρὰ τῷ ποταμῷ, τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν, καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν χρυσοῦν ἀνήνεγκε πέλεκυν. καὶ εἰ οὗτός ἐστιν ὃν ἀπώλεσεν ἤρετο. τοῦ δὲ, μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμισε. τοῦ δὲ, μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου καταβὰς ἐκεῖνον

ξὺν ὁ χεῖρον ἀνήνεγκε. τὸ δὲ, τοῦτον ἀληθῶς εἶναι τὸν ἀπο‑λωλότα φαμένου, ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δι‑καιοσύνην, πάσας αὐτῷ ἐδωρήσατο. ὁ δὲ, παραγενό‑μενος, πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξελήλυ‑θεν. ὧν εἴς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν, καὶ τὴν οἰκείαν ἀξίνην δὴ ἐπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. ἐπι‑φανεὶς οὖν ὁ ἑρμῆς κἀκείνῳ, καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκεν. καὶ ἤρετο εἰ ταύτην ἀπέβαλε. τοῦ δὲ, σὺν ἡδονῇ, ναὶ ἀληθῶς ἥδ᾽ ἐστὶ φήσαντος, μισήσας ὁ θεὸς τὴν τοι‑αύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ᾽ οὐ‑δὲ τὴν οἰκείαν ἀπέδωκεν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ὅσον τοῖς δικαίοις τὸ θεῖον συναί‑ρεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται

Ὄνος, καὶ κηπωρός.

ΟΝΟΣ ὑπηρετούμενος κηπωρῷ, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πλεῖστα δ᾽ ἐμόχθει, ηὔξατο τῷ διῒ ὥς τε τοῦ κηπωροῦ ἀπαλλαγεὶς ἑτέρῳ ἀπεμποληθῆναι δε‑σπότῃ. τοῦ δὲ διὸς ἐπακούσαντος καὶ κελεύσαντος αὐτὸν κεραμεῖ πραθῆναι, πάλιν ἐδυσφόρει πλέον, ἢ πρότερον ἀχθοφορῶν, καὶ τόν τε πηλὸν, καὶ τὰς κερά‑μους κομίζων. πάλιν οὖν ἀμεῖψαι τὸν δεσπότην ἱκέ‑τευε. καὶ βυρσοδέψῃ ἀπεμπολεῖται. εἰς χείρονα τίνων τῶν προτέρων δεσπότην ἐμπεσὼν, καὶ ὁρῶν τὰ παρ᾽ αὐ‑τοῦ πραττόμενα, μετὰ στεναγμῶν ἔφη. οἴμοι τῷ ταλαι‑πώρῳ, βέλτιον ἦν μοι παρὰ τοῖς προτέροις δεσπό‑ταις μένειν. οὗτος γὰρ ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κα‑

περγάσεται.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς προτέρους δεσπότας οἰκέται ποθοῦσιν, ὅταν τῶν δευτέρων λάβωσι πεῖραν.

Ὀρνιθοθήρας, καὶ κορυδαλός.

Ὀρνιθοθήρας ὄρνισιν ἵστη παγίδας. κορυδαλὸς δὲ τοῦτον πόῤῥωθεν ἰδὼν, ἐπυνθάνετο τί ποτ' ἐργάζοιτο. τοῦ δὲ, πόλιν κτίζειν φαμένου, εἶτα δὲ πορρωτέρω ἀποχωρήσαντος καὶ κρυβέντος καὶ, ὁ κορυδαλὸς τοῖς τοῦ ἀνδρὸς λόγοις πιστεύσας, προσελθὼν εἰς τὴν βρόχον ἑάλω. τοῦ δὲ ὀρνιθοθήρα ἐπιδραμόντος, ἐκεῖνος εἶπεν. ὦ οὗτος, εἰ τοιαύτην πόλιν κτίζεις, οὐ πολλοὺς εὑρήσεις τοὺς ἐνοικοῦντας.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσιν.

Ὁδοιπόρος.

Ὁδοιπόρος πολλὴν ἀνύσας ὁδὸν, ηὔξατο, εἰ ἄρα εὑρήσει τι, τὸ ἥμισυ τούτου τῷ Ἑρμῇ ἀναθήσειν. περιτυχὼν δὲ πήρᾳ μεστῇ φοινίκων καὶ ἀμυγδάλων, καὶ ταύτην ἀνελόμενος, ἐκείνους μὲν ἔφαγε. τὰ δὲ τῶν φοινίκων ὀστᾶ, καὶ τὰ τῶν ἀμυγδάλων κελύφη ἐπί τινος ἀνέθηκε βωμοῦ, φήσας. ἀπέχεις ὦ Ἑρμῆ τὴν εὐχήν. τοῦ γὰρ εὑρεθέντος τὰ ἐκτὸς καὶ ἐντὸς, πρὸς σὲ διανέμημαι.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς ἄνδρα φιλάργυρον, καὶ τοὺς θεοὺς διὰ πλεονεξίαν κατασοφιζόμενον.

Παῖς, καὶ μήτηρ.

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας, ἤνεγκε τῇ μητρί. ἡ δὲ μὴ ἐπιπλήξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις ἤρξατο καὶ τὰ μείζω κλέπτειν. ἐπαυτοφώρῳ δέ ποτε ληφθεὶς, ἀπήγετο τὴν πρὸς θάνατον. ἡ δὲ μήτηρ ἑπομένης καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο βραχέα τινὰ τῇ μητρὶ διαλεχθῆναι πρὸς τὸ οὖς. ἡ δὲ ταχέως τῷ στόματι τοῦ παιδὸς προσθείσης, ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο. τῆς δὲ μητρὸς καὶ τῶν ἄλλων κατηγορούντων, ὡς οὐ μόνον κέκλοφεν, ἀλλ᾽ ἤδη καὶ εἰς τὴν μητέρα ἠσέβηκεν, ἐκεῖνος εἶπεν. αὕτη γάρ μοι τῆς ἀπωλείας γέγονεν αἴτιος. εἰ γὰρ ὅτε τὴν δέλτον ἐκεκλόφειν ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων χωρήσας νῦν ἠγόμην ἐπὶ τὸν θάνατον.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν μὴ κατ᾽ ἀρχὰς κολαζομένων, ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

Ποιμὴν, καὶ θάλασσα.

Ποιμὴν ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν. ἀπεμπολήσας οὖν τὰ πρόβατα, καὶ φοινίκων βαλάνους πριάμενος, ἀνήχθη. χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν, μόλις κενῇ τῇ νηὶ διεσώθη. μετὰ δ᾽ ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς, καὶ τῆς θαλάττης, ἔτυχε γὰρ αὕτη γαληνιῶσα, τὴν ἠρεμίαν θαυμάζοντος ὑπολαβὼν οὗτος εἶπε. φοινίκων αὖθις ὡς ἔοικεν

ἐπιθυμεῖ,

ἐπιθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις, μαθήματα γίνονται.

Ῥοιά, καὶ μηλέα.

Ῥοιὰ καὶ μηλέα περὶ κάλλους ἤριζον. πολλῶν δ' ἀμφισβητήσεων μεταξὺ γενομένων, βάτος ἐκ τοῦ πλησίον ἀκούσασα φραγμοῦ, παυσώμεθα εἶπεν ὦ φίλαι ποτὲ μαχόμεναι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἐν ταῖς τῶν ἀμεινόνων στάσεσι, καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

Ἀσπάλαξ.

Ὁ ἀσπάλαξ τυφλὸν ζῶόν ἐστι. φησὶν οὖν ποτε τῇ μητρί, συκαμίνεάν μῆτερ ὁρῶ. εἶτα αὖθις φησί, λιβάνου ὀσμῆς πεπλήρωμαι. κἀκ τρίτου πάλιν, χαλκῆς φησὶ ψηφῖδος κτύπον ἀκούω. ἡ δὲ μήτηρ ὑπολαβοῦσα εἶπεν. ὦ τέκνον. ὡς ἤδη καταμανθάνω, οὐ μόνον ὄψεως ἐστέρησαι, ἀλλὰ καὶ ἀκοῆς, καὶ ὀσφρήσεως.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀλαζόνων, τὰ ἀδύνατα, κατεπαγγέλλονται. καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

Σφῆκες, καὶ πέρδικες.

Σφῆκες καὶ πέρδικες δίψῃ συνεχόμενοι, πρὸς γεωργὸν ἦλθον παρ' αὐτοῦ αἰτοῦντες πιεῖν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν. οἱ μὲν πέρδικες, σκάψειν τὰς ἀμπέλους.

οἱ δὲ σφῆκες κύκλῳ περιϊόντες, τοῖς κέντροις ἀποσοβεῖν τοὺς κλέπτας. ὁ δὲ γεωργὸς ἔφη. ἀλλ᾽ ἔμοι γέ εἰσι δύο βόες, οἳ μηδὲν ἐπαγγελλόμενοι, πάντα ποιοῦσιν. ἄμεινον οὖν ἐστὶν ἐκείνοις δοῦναι, ἤπερ ὑμῖν.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς ἄνδρας ἐξώλεας, ὠφελεῖν μὲν ἐπαγγελλομένους, βλάπτοντας δὲ μεγάλα.

Ταὼς, καὶ κολοιός.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου τοῦ κάλλους χειροτονεῖν. αἱρουμένων δὲ τοῦτον πάντων, κολοιὸς ὑπολαβὼν ἔφη. ἀλλ᾽ εἰ σοῦ βασιλεύοντος ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

Μονιὸς, καὶ ἀλώπηξ.

Μονιὸς ἄγριος ἐπί τινος ἑστὼς δένδρου, τοὺς ὀδόντας ἔθηγεν. ἀλώπεκος δὲ ἐρομένης τὴν αἰτίαν, ὅτι μηδεμιᾶς προσκειμένης ἀνάγκης, τί τοὺς ὀδόντας θήγει, ἔφη, οὐκ ἀλόγως τοῦτο ποιῶ. εἰ γάρ με κίνδυνος περισταίη, οὔκουν με τηνικαῦτα πρὸς τοὺς ὀδόντας ἀκονᾶν ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρῆσθαι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ πρὸς τὸν κίνδυνον παρασκευάζεσθαι.

Κορυδαλός.

Κορυδαλὸς εἰς πάγην ἁλοὺς, θρηνῶν ἔλεγεν. οἴμοι τῷ ταλαιπώρῳ, καὶ δυστήνῳ πτηνῷ. οὐ χρυ-

σὸν ζωοσφισάμην τινός. οὐκ ἄργυρον. οὐκ ἄλλο τι τῶν τιμίων. κόκκος δὲ σίτου μικρός, τὸν θάνατόν μοι προὐξένησεν.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς τοὺς διὰ κέρδος εὐτελὲς, μέγαν ὑφισαμένους κίνδυνον.

Νεβρός.

Νεβρός ποτε πρὸς τὴν ἔλαφον εἶπε. πάτερ, σὺ καὶ μείζων καὶ ταχύτερος κυνῶν πέφυκας. καὶ κέρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις πρὸς ἄμυναν. τί δήποτ' οὖν οὕτω τούτους φοβῇ; κἀκεῖνος γελῶν εἶπεν. ἀληθῆ μὲν ταῦτα φὴς τέκνον, ἓν δ' οἶδα, ὡς ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν οὐκ οἶδ' ὅπως ἐκφέρομαι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τοὺς φύσει δειλοὺς, οὐδεμία παραίνεσις ῥώννυσιν.

Λαγωοὶ, καὶ βάτραχοι.

Οἱ λαγωοί ποτε συνελθόντες, τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς ἐπισφαλὴς εἴη καὶ δειλίας πλέως. καὶ γὰρ καὶ ὑπ' ἀνθρώπων, καὶ κυνῶν καὶ ἀετῶν, καὶ ἄλλων πολλῶν ἀναλίσκονται. βέλτιον οὖν εἶναι θανεῖν ἅπαξ, ἢ διὰ βίου τρέμειν. τοῦτο τοίνυν κυρώσαντες, ὥρμησαν κατὰ ταυτὸν εἰς τὴν λίμνην, ὡς εἰς αὐτὴν ἐμπεσούμενοι καὶ ἀποπνιγησόμενοι. τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης βατράχων ὡς τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν λαγωῶν τις ἀγχινούστερος εἶναι δοκῶν τῶν ἄλλων, ἔφη. στῆτε ἑταῖροι. μηδὲν δεινὸν ὑμᾶς αὐτοὺς διαπράξησθε. ἤδη ὡς ὁρᾶτε καὶ ἡμῶν ἕτερά ἐστι ζῶα δειλότερα.

Ἐπιμύθιον

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ δυστυχοῦντες, ἐξ ἑτέρων χείρονα παθόντων παραμυθοῦνται.

Ὄνος, καὶ ἵππος.

Ὄνος ἵππον ἐμακάριζεν, ὡς ἀφθόνως τρεφόμενον καὶ ἐπιμελῶς, αὐτὸς μὴ δὲ ἀχύρων ἅλις ἔχων, καὶ ταῦτα, πλεῖστα ταλαιπωρῶν. ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου, καὶ ὁ στρατιώτης ἔνοπλον ἀνέβη τὸν ἵππον πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε, καὶ ὁ ἵππος πληγεὶς ἔκειτο, ταῦτα ἑωρακὼς ὁ ὄνος, τὸν ἵππον μεταβαλλόμενος ἐταλάνιζεν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς ἄρχοντας καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν καθ᾽ ἐκείνων φθόνον, καὶ τὸν κίνδυνον ἀναλογιζομένους τὴν πενίαν ἀγαπᾷν.

Φιλάργυρος.

Φιλάργυρός τις ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος, καὶ χρυσοῦν βῶλον ποιήσας, ἔν τινι τόπῳ κατώρυξε, συγκατορύξας ἐκεῖ καὶ ψυχὴν ἑαυτοῦ καὶ τὸν νοῦν. καὶ καθ᾽ ἡμέραν ἐρχόμενος, αὐτὸν ἔβλεπε. τῶν ἐργατῶν τις αὐτὸν παρατηρήσας, καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνεῖλε. μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν, καὶ κενὸν τὸν τόπον ἰδὼν, θρηνεῖν ἤρξατο, καὶ τίλλειν τὰς τρίχας. τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν, καὶ τὴν αἰτίαν πυθόμενος, μὴ οὕτως εἶπεν ὦ οὗτος ἀθύμει. οὐδὲ γὰρ ἔχων τὸν χρυσὸν εἶχες. λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θὲς. καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι. τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν. ὡς ὁρῶ γὰρ οὐδ᾽ ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα.

ἦθα τὸ κτήματος. Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῇ.

Χῆνες, καὶ γέρανοι.

Χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ λειμῶνος ἐνέμοντο. τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν γέρανοι κοῦφοι ὄντες, ταχέως ἀπέπτησαν. οἱ δὲ χῆνες διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ ἐν ἁλώσει πόλεως, οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν. οἱ δὲ πλούσιοι δουλεύουσιν ἁλισκόμενοι.

Χελώνη, καὶ ἀετός.

Χελώνη ἀετοῦ ἐδέετο ἵπτασθαι ταύτην διδάξαι. τοῦ δὲ, παραινοῦντος πόῤῥω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. λαβὼν οὖν ταύτην τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν, εἶτ᾽ ἀφῆκεν. ἡ δὲ, κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

Ψύλλα.

Ψύλλα ποτὲ πηδήσασα, ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν. ὁ δὲ, τὸν ἡρακλῆν ἐπὶ συμμαχίαν ἐκάλει. τῆς δὲ, ἐκεῖθεν αὖθις ἀφαλλομένης, στενάξας εἶπεν. ὦ ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσι ἀνταγωνισταῖς συνεργήσεις.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, μὴ δεῖν ἐπὶ τῶν ἐλαχίστων τὸ θεῖον δεῖσθαι, ἀλλ᾽ ἐπὶ τῶν ἀναγκαίων.

Ἔλαφος.

Ἔλαφος.

Ἔλαφος τὸν ἕτερον πεπηρωμένη τῶν ὀφθαλμῶν, ἐπ' ἠιόνος ἐνέμετο, τὸν μὲν ὑγιᾶ τῶν ὀφθαλμῶν πρὸς τὴν ξηρὰν διὰ τοὺς κυνηγετοῦντας ἔχουσα, τὸν δὲ λοιπὸν, πρὸς θάλατταν, ὅθεν οὐδὲν ὑπώπτευε. παραπλέοντες δέ τινες, καὶ τούτου στοχασάμενοι, αὐτῆς κατετόξευσαν. ἡ δ' ἑαυτὴν ὠλοφύρετο, ὡς ὑφ' ἧς μὲν ἔδει δοίκει, μηδὲν παθοῦσα, ἣν δ' οὐκ ᾤετο κακὸν ἐπάξειν, ὑπὸ ταύτης προδεδομένη.

Ἐπιμύθιον

ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡμῖν τὰ βλαβερὰ δοκοῦντα ὠφέλιμα γίνεται, τὰ δ' ὠφέλιμα, βλαβερά.

Ἔλαφος, καὶ λέων.

Ἔλαφος κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ. λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη. θνήσκουσα δ' ἔλεγεν, οἴμοι ὅτι ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων μικροὺς κινδύνους φεύγοντες, μεγάλων ἐπειράθησαν.

Ἔλαφος, καὶ ἄμπελος.

Ἔλαφος κυνηγοὺς φεύγουσα, ὑπ' ἀμπέλῳ ἐκρύβη. παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα, τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. τούτων δὲ σειομένων, οἱ κυνηγοὶ ἐπιστραφέντες, καὶ ὅπερ ἦν ἀληθὲς νομίσαντες τῶν ζώων ὑπὸ τοῖς φύλλοις τὶ κρύπτεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. ἡ δὲ θνήσκουσα, τοιαῦτ' ἔλεγε. δίκαια πέπονθα. οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι.

Ἐπιμύθιον.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ ἀδικοῦντες τοὺς εὐεργέτας ὑπὸ θεοῦ κολάζονται.

Ὄνος, καὶ λέων.

Ὄνω ποτὲ ἀλεκτρυὼν συνεβόσκετο. λέοντος δὲ ἐπελθόντος τῷ ὄνῳ, ὁ ἀλεκτρυὼν ἐφώνησε. καὶ ὁ μὲν λέων, φασὶ γὰρ τοῦτον τὴν ἀλεκτρυόνος φωνὴν φοβεῖσθαι, ἔφυγεν. ὁ δὲ ὄνος νομίσας δι' αὐτὸν πεφευγέναι, ἐπέδραμεν εὐθὺς τῷ λέοντι. ὡς δὲ πόῤῥω τοῦτον ἐδίωξεν, ἔνθα μηκέτι ἡ τοῦ ἀλεκτρυόνος ἐφικνεῖτο φωνὴ, στραφεὶς ὁ λέων κατεθοινήσατο. ὁ δὲ, θνήσκων ἐβόα. ἄθλιος ἐγὼ καὶ ἀνόητος. πολεμιστῶν γὰρ μὴ ὢν γονέων, τίνος χάριν εἰς πόλεμον ἐξωρμήθην.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ταπεινουμένοις ἐπίτηδες τοῖς ἐχθροῖς ἐπιτίθενται. καὶ οὕτως ὑπ' ἐκείνων ἀπόλλυνται.

Κηπωρὸς, καὶ κύων.

Κηπωροῦ κύων εἰς φρέαρ κατέπεσεν. ὁ δὲ κηπωρὸς βουλόμενος αὐτὸν ἐκεῖθεν ἀνενεγκεῖν κατῆλθε καὶ αὐτὸς εἰς τὸ φρέαρ. οἰηθεὶς δὲ ὁ κύων, ὡς κατωτέρω μᾶλλον αὐτὸν παραγέγονε καταδῦσαι, τὸν κηπωρὸν στραφεὶς ἔδακεν. ὁ δὲ, μετ' ὀδύνης ἐπανιὼν, δίκαιά φησι πέπονθα. τί δή ποτε γοῦν τὸν αὐτόχειρα σῶσαι ἐσπούδασα;

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς ἀδίκους, καὶ ἀχαρίστους.

Σῦς, καὶ κύων.

Σῦς τε, καὶ κύων ἀλλήλοις διελοιδοροῦντο. καὶ ἡ μὲν σῦς ὤμνυε κατὰ τῆς ἀφροδίτης ἦ μὴν τοῖς ὀδοῦσιν ἀναῤῥήξειν

ἀναξέξειν τὴν κύνα. ἡ δὲ κύων πρὸς ταῦτα εἰρωνικῶς εἶπε. καλῶς νὴ τὴν ἀφροδίτην ἡμῖν ὀμνύεις. δηλοῖς γὰρ ὑπ' αὐτῆς ὅτι μάλιστα φιλεῖσθαι. ἣ τὸν τῶν σῶν ἀκαθάρτων σαρκῶν γευόμενον, οὐδ' ὅλως εἰς ἱερὸν προσίεται. καὶ ἡ σῦς, διὰ τοῦτο μὲν οὖν μᾶλλον δήλη ἐστὶν ἡ θεὸς στέργουσά με. τὸν γὰρ κτείναντα, ἢ ἄλλως λυμαινόμενον παντάπασιν ἀποστρέφεται. σὺ μέντοι κακῶς ὄζεις καὶ ζῶσα καὶ τεθνηκυῖα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ῥητόρων, τὰ ὑπὸ τῶν ἐχθρῶν ὀνείδη, εὐμεθόδως εἰς ἔπαινον μετασχηματίζουσιν.

Ὗς, καὶ κύων.

Ὗς, καὶ κύων περὶ εὐτοκίας ἤριζον. ἔφη δὲ ἡ κύων εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν. καὶ ἡ ὗς ὑποτυχοῦσα πρὸς ταῦτά φησιν. ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελεότητι κρίνεται.

Ὄφις, καὶ καρκῖνος.

Ὄφις καρκίνῳ συνδιῃτᾶτο, ἑταιρίαν πρὸς αὐτὸν ποιησάμενος. ὁ μὲν οὖν καρκῖνος ἁπλοῦς ὢν τὸν τρόπον, μεταβαλέσθαι κἀκεῖνον παρῄνει τῆς πανουργίας. ὁ δέ, οὐδ' ὁτιοῦν ἑαυτὸν παρεῖχε πειθόμενον. ἐπιτηρήσας δ' ὁ καρκῖνος αὐτὸν ὑπνοῦντα, καὶ ὅσον οἷόν τε πιέσας, φονεύει. τοῦ δ' ὄφεως μετὰ θάνατον ἐκταθέντος, ἐκεῖνος εἶπεν. οὕτως ἔδει καὶ πρόσθεν εὐθὺν καὶ ἁπλοῦν εἶναι. οὐ δὲ γὰρ ἂν ταύτην τὴν

δίκην

δίκην ἐτίσας. Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς φίλοις σὺν δόλῳ προσιόντες, αὐτοὶ μᾶλλον βλάπτονται.

Ποιμὴν, καὶ λύκος.

Ποιμὴν νεογνὸν λύκου σκύμνον εὑρὼν, καὶ ἀνελόμενος, σὺν τοῖς κυσὶν ἔτρεφεν. ἐπεὶ δὲ ηὐξήθη, εἴποτε λύκος πρόβατον ἥρπασε, μετὰ τῶν κυνῶν καὶ αὐτὸς ἐδίωκε. τῶν δὲ κυνῶν ἔσθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν λύκον, καὶ διὰ ταῦτα ὑποστρεφόντων, ἐκεῖνος ἠκολούθει, μέχρις ἂν τοῦτον καταλαβὼν, οἷα δὴ λύκος συμμετάσχῃ τῆς θήρας, εἶτα ὑπέστρεφεν. εἰ δὲ μὴ λύκος ἔξωθεν ἁρπάσειε πρόβατον, αὐτὸς λάθρα θύων, ἅμα τοῖς κυσὶν ἐθοινᾶτο. ἕως ὁ ποιμὴν στοχασάμενος, καὶ συνεὶς τὸ δρώμενον, εἰς δένδρον αὐτὸν ἀναρτήσας ἀπέκτεινεν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι φύσις πονηρὰ, χρηστὸν ἦθος οὐ τρέφει.

Λέων, καὶ λύκος,

Λέων γηράσας, ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ. παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα πλὴν ἀλώπεκος, τἄλλα τῶν ζώων. ὁ τοίνυν λύκος λαβόμενος εὐκαιρίας, κατηγόρει παρὰ τῷ λέοντι τῆς ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα, καὶ διὰ ταῦτα μὴ δ' εἰς ἐπίσκεψιν ἀφιγμένης. ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ ἀλώπηξ, καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ λύκου ῥημάτων. ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο. ἡ δ' ἀπολογίας καιρὸν αἰτήσασα, καὶ τίς ἔφη τῶν συνελθόντων τοσοῦτον

ὠφέλησεν, ὅσον ἐγὼ πανταχόσε περινοστήσασα, καὶ θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατροῦ ζητήσασα, καὶ μαθοῦσα. τοῦ δὲ λέοντος εὐθὺς τὴν θεραπείαν, εἰπεῖν κελεύσαντος, ἐκείνη φησὶν, εἰ λύκον ζῶντα ἐκδείρας, τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ. καὶ τοῦ λύκου κειμένου, ἡ ἀλώπηξ γελῶσα εἶπεν οὕτως οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν κινεῖν, ἀλλὰ πρὸς εὐμένειαν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ὁ καθ' ἑκάστου μηχανώμενος, καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει.

Γυνή.

Γυνή τις ἄνδρα μέθυσον εἶχε. τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα, τοιόνδε τι σοφίζεται. κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παραθηρήσασα, καὶ νεκροῦ δίκην ἀναισθητοῦντα, ἐπ' ὤμων ἄρασα, ἐπὶ τὸ πολυάνδριον ἀπενεγκοῦσα κατέθετο καὶ ἀπῆλθεν. ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα τὴν θύραν ἔκοπτε τοῦ πολυανδρίου. ἐκείνου δὲ φήσαντος τίς ὁ τὴν θύραν κόπτων, ἡ γυνὴ ἀπεκρίνατο, ὁ τοῖς νεκροῖς τὰ σιτία κομίζων, ἐγὼ πάρειμι. κἀκεῖνος, μή μοι φαγεῖν ἀλλὰ πιεῖν ὦ βέλτιστε μᾶλλον προσένεγκε. λυπεῖς γάρ με βρώσεως ἀλλὰ μὴ, πόσεως μνημονεύων. ἡ δὲ, τὸ στῆθος πατάξασα, οἴμοι τῇ δυστήνῳ φησίν. οὐ δὲ γὰρ οὐ δὲ σοφισαμένη ὤνησα. σὺ γὰρ ἄνερ οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σαυτοῦ γέγονας, εἰς ἕξιν σοι καταστάντος τοῦ πάθους.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν. ἔστι γὰρ ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ

τὸ ἔθος ἐπιτίθεται.

Κύκνος.

Ἀνὴρ εὔπορος, χῆνά τε ἅμα καὶ κύκνον ἔτρεφεν. οὐκ ἐπὶ τοῖς αὐτοῖς μέντοι. τὸν μὲν γὰρ, ᾠδῆς, τὸν δὲ, τραπέζης ἕνεκεν. ἐπεὶ δὲ ἔδει τὸν χῆνα παθεῖν ἐφ᾽ οἷς ἐτρέφετο, νὺξ μὲν ἦν. καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. ὁ δὲ κύκνος ἀντὶ τοῦ χηνὸς ἀπαχθεὶς, ᾄδει τι μέλος θανάτου προοίμιον. καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύσιν. τὴν δὲ τελευτὴν, διαφεύγει τῷ μέλει.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡ μουσικὴ, τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

Αἰθίοψ.

Αἰθίοπά τις ὠνήσατο, τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν, ἀμελείᾳ τοῦ πρότερον ἔχοντος, καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καταίρειν. καὶ τὸ μὲν χρῶμα, μεταβαλεῖν οὐκ εἶχε. νοσεῖν δὲ τὸ πονεῖν παρεσκεύασεν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὴν ἀρχήν.

Χελιδὼν, καὶ κορώνη.

Χελιδὼν, καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν. ὑποτυχοῦσα δὲ ἡ κορώνη πρὸς αὐτὴν εἶπεν. ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ. τὸ δ᾽ ἐμὸν σῶμα, καὶ χειμῶνι παρατείνεται,

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἡ παράτασις τοῦ σώματος, εὐπρεπείας κρείττων ἐστί.

Βούταλις.

Βούταλις ἀπό τινος θυρίδος ἐκρέματο. νυκτερὶς δὲ προσελθοῦσα, ἐπυνθάνετο τὴν αἰτίαν, δι' ἣν ἡμέρας μὲν ἡσυχάζει, νύκτωρ δὲ ᾄδει. τῆς δὲ, μὴ μάτην τοῦτο ποιεῖν λεγούσης, ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθη, καὶ διὰ τοῦτο ἀπ' ἐκείνου ἐσωφρονίσθη, ἡ νυκτερὶς εἶπεν. ἀλλ' οὐ νῦν σε φυλάττεσθαι δεῖ, ὅτε μηδὲν ὄφελος. ἀλλὰ πρὶν, ἢ συλληφθῆναι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἐπὶ τοῖς ἀτυχήμασιν ἀνόνητος ἡ μετάνοια.

Κοχλίαι.

Γεωργοῦ παῖς ὤπτα κοχλίας. ἀκούσας δὲ αὐτῶν τριζόντων, ἔφη. ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε;

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιστον.

Γυνὴ, καὶ θεράπαιναι.

Γυνὴ χήρα φιλεργὸς θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα, πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. αἱ δὲ, συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι, ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ διεγείροντος τὴν δέσποιναν. συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις, χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. ἡ γὰρ δεσπότις ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν συνεχῶς ὄρθρου

ταύτας ἀνίσχ. Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις, τὰ βουλεύματα, κακῶν αἴτια γίνεται.

Γυνὴ μάγος.

Γυνὴ μάγος θείων μηνιμάτων ἀποτροπιασμοὺς ἐπαγγελλομένη, πολλὰ διετέλει ποιοῦσα, καὶ κέρδος ἐντεῦθεν ἔχουσα. γραψάμενοι δέ τινες αὐτὴν ἀσεβείας, εἷλον. καὶ καταδικασθεῖσαν, ἀπῆγον εἰς θάνατον. ἰδὼν δέ τις ἀπαγομένην αὐτὴν ἔφη. ἡ τὰς τῶν θεῶν ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπων βουλὴν μεταπεῖσαι ἠδυνήθης;

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ μεγάλα ἐπαγγέλλονται, μὴ δὲ μικρὰ ποιῆσαι δυνάμενοι.

Γαλῆ.

Γαλῆ εἰς ἐργαστήριον εἰσελθοῦσα χαλκέως, τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. ξυομένης δὲ τῆς γλώττης, αἷμα πολὺ ἐφέρετο. ἡ δὲ, ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶσσαν ἀνήλωσεν.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

Γεωργός.

Γεωργός τις σκάπτων, χρυσίῳ περιέτυχε. καθ' ἑκάστην οὖν, τὴν γῆν ὡς ὑπ' αὐτῆς εὐεργετηθεὶς ἔστεφε. τῷ δὲ, ἡ τύχη ἐπιστᾶσα, φησίν. ὦ οὗτος, τί τῇ γῇ τὰ ἐμὰ δῶρα προσανατίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη; εἰ γὰρ ὁ καιρὸς μεταβάλοι,

καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό σοι τὸ χρυσίον ἔλθοι, οἱ δ' ὅτι τηνικαῦτα μετὰ τὴν τύχην μέμψῃ.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι χρὴ τὸν εὐεργέτην ἐπιγινώσκειν καὶ τούτῳ χάριτας ἀποδιδόναι.

Ὁδοιπόροι.

Δύο τινὲς κατὰ ταυτὸν ὡδοιπόρουν. καὶ θατέρου πέλεκυν εὑρόντος, ἅτερος ὁ μὴ εὑρὼν παρῄνει αὐτὸν μὴ λέγειν εὕρηκα, ἀλλ' εὑρήκαμεν. μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος, πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν, ἀπολώλαμεν. ὁ δὲ εἶπεν, ἀπόλωλα λέγε, οὐκ ἀπολώλαμεν. καὶ γὰρ καὶ ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα, ἔλεγες, οὐχ εὑρήκαμεν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων, οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

Βάτραχοι.

Δύο βάτραχοι ἀλλήλοις ἐγειτνίων. ἐνέμοντο δέ, ὁ μὲν εἰς ἐν βαθείᾳ καὶ πόῤῥω τῆς ὁδοῦ λίμνῃ. ὁ δέ, ἐν ὁδῷ, μικρὸν ὕδωρ ἔχων. καὶ δὴ τοῦ ἐν τῇ λίμνῃ θατέρῳ παραινοῦντος πρὸς αὐτὸν μεταβῆναι, ὡς ἂν ἀσφαλεστέρας διαίτης μεταλάβῃ, ἐκεῖνος οὐκ ἐπείθετο, λέγων δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας. ἕως οὗ συνέβη ἅμαξαν παρελθοῦσαν αὐτὸν συνθλάσαι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιχειροῦντες, φθάνουσιν ἀπολλύμενοι πρὶν ἐπὶ τὸ βέλτιον τραπέσθαι.

Μελιτουργός.

Τίς μελιτουργεῖον τὶς εἰσελθὼν, τοῦ κεκτημένου ἀπόντος, τὸ κηρίον ἀφείλετο. ὁ δὲ, ἐπανελθὼν, ἐπειδὴ τὰς κυψέλας εἶδεν ἐρήμους, εἱστήκει τὸ κατ᾽ αὐτὰς διερευνώμενος. αἱ δὲ μέλισσαι ἀπὸ τῆς νομῆς ἐπανήκουσαι, ὡς κατέλαβον αὐτὸν, τοῖς κέντροις ἔπαιον, καὶ τὰ χείριστα διετίθουν. ὁ δὲ, πρὸς αὐτὰς, κάκιστα ζῶα, τὸν μὲν κλέψαντα ὑμῶν τὰ κηρία ἀθῶον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν πλήττετε;

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὕτω τῶν ἀνθρώπων τινὲς, δι᾽ ἄγνοιαν τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι, τοὺς φίλους ὡς ἐπιβούλους ἀπωθοῦνται.

Ἀλκυών.

Ἀλκυὼν ὄρνις ἐστὶ φιλέρημος, ἀεὶ τῇ θαλάττῃ διαιτωμένη. ταύτην λέγεται τὰς τῶν ἀνθρώπων θήρας φυλαττομένην, ἐν σκοπέλοις παραθαλαττίοις νεοττοποιεῖσθαι. καὶ δή ποτε τίκτειν μέλλουσα ἐνεοττοποιήσατο. ἐξελθούσης δέ ποτε αὐτῆς εἰς νομὴν, συνέβη τὴν θάλασσαν ὑπὸ λάβρου κυματωθεῖσαν πνεύματος, ὑπεραρθῆναι τῆς καλιᾶς, καὶ ταύτην ἐπικλύσασαν, τοὺς νεοττοὺς διαφθεῖραι. ἡ δὲ, ἐπανελθοῦσα καὶ γνοῦσα τὸ πραχθὲν, εἶπε. δειλαία ἔγωγε, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη, ἐπὶ ταύτην κατέφυγον, ἥ μοι πολλῷ γέγονεν ἀπιστοτέρα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων ἔνιοι τοὺς ἐχθροὺς φυλαττόμενοι, λανθάνουσι πολλῷ χαλεπωτέροις τῶν ἐχθρῶν φίλοις ἐμπίπτοντες.

σιωπῆσθαι. καὶ ὁ δελφὶς ἐπὶ τοσούτῳ ψεύδει ἀγανακτή-
σας, βαπτίζων αὐτὸν ἀπέκτεινεν.

Ἐπιμύθιον.

ὁ μῦθος πρὸς ἄνδρας, οἳ τὴν ἀλήθειαν οὐκ εἰδότες ἀπατᾶν νομίζουσιν.

Μυῖαι.

Ἔν τινι ταμείῳ μέλιτος ἐκχυθέντος, μυῖαι προσ-
πτᾶσαι κατήσθιον· ἐμπαγέντων δὲ τῶν ποδῶν αὐ-
τῶν, ἀναπτῆναι οὐκ εἶχον. ἀποπνιγόμεναι δ᾽ ἔλεγον,
ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἡ λιχνεία, πολλῶν κα-
κῶν αἰτία γίνεται.

Ἑρμῆς, καὶ ἀγαλματοποιός.

Ἑρμῆς γνῶναι βουλόμενος ἐν τίνι τιμῇ παρ᾽ ἀνθρώ-
ποις ἐστὶν, ἧκεν εἰς ἀγαλματοποιοῦ, ἑαυτὸν εἰκά-
σας ἀνθρώπῳ. καὶ θεασάμενος ἄγαλμα τοῦ Διὸς,
ἠρώτα πόσου τις αὐτὸ πρίασθαι δύναται. τοῦ δὲ, εἰπόν-
τος, δραχμῆς, γελάσας, πόσου τὸ τῆς ἥρας ἔφη. εἰ-
πόντος δὲ πλείονος, ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα, καὶ
νομίσας ὡς ἐπειδὴ ἄγγελός ἐστι θεῶν καὶ κερδῷος,
πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρε-
το περὶ αὐτοῦ. ὁ δ᾽ ἀγαλματοποιὸς ἔφη, ἐὰν τούτους ὠνή-
σῃ, καὶ τοῦτον προσθήκην σοι δίδωμι.

Ἐπιμύθιον.

ὁ μῦθος πρὸς ἄνδρα κενόδοξον, οὐδεμιᾷ παρὰ ἄλλους
ὄντα τιμῇ.

Ἑρμῆς, καὶ τειρεσίας.

Ἑρμῆς βουλόμενος τὴν τειρεσίου μαντικὴν εἰ ἀληθής

ἐστὶ γνῶναι, κλέψας τὰς αὐτοῦ βοῦς ἐξ ἀγροικίας, ἧκεν ὡς αὐτὸν εἰς ἄστυ ὁμοιωθεὶς ἀνθρώπῳ. καὶ παρ' αὐτῷ κατήχθη. τῆς δὲ τῶν βοῶν ἀπωλείας ἀγγελθείσης τῷ Τειρεσίᾳ, ἐκεῖνος παραλαβὼν τὸν Ἑρμῆν ἐξῆλθεν, οἰωνόν τινα περὶ τοῦ κλέπτου σκεψόμενος. καὶ τούτῳ παρῄνει φράζειν αὐτῷ, ὅν τινα ἂν τῶν ὀρνίθων θεάσηται. ὁ δ' Ἑρμῆς τὸ μὲν πρῶτον θεασάμενος ἀετὸν ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιὰ διιπτάμενον, ἔφρασε. τοῦ δὲ φήσαντος μὴ πρὸς αὐτοὺς εἶναι τοῦτον, ἐκ δευτέρου κορώνην εἶδεν ἐπί τινος δένδρου καθημένην, καὶ ποτὲ μὲν ἄνω βλέπουσαν, ποτὲ δὲ πρὸς τὴν γῆν κακύπτουσαν καὶ τῷ μάντει φράζει. καὶ ὃς ὑποτυχὼν εἶπεν. ἀλλ' αὕτη γε ἡ κορώνη διόμνυται τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὡς ἐὰν σὺ θέλῃς, τὰς ἐμὰς ἀπολήψομαι βοῦς.

Ἐπιμύθιον.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις, πρὸς ἄνδρα κλέπτην.

Κύνες.

Ἔχων τις δύο κύνας, τὸν μὲν ἕτερον θηρεύειν ἐδίδαξε, τὸν δὲ λοιπὸν οἰκοφυλακεῖν. καὶ δὴ εἴ ποτε ὁ θηρευτικὸς ἤγρευέ τι, καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης. ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ κἀκεῖνον ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν καθ' ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ μηδὲν πονῶν τοῖς αὐτοῦ τρέφεται πόνοις, ὑπολαβὼν αὐτὸς εἶπε. μὴ ἐμέ, ἀλλὰ τὸν δεσπότην μέμφου ὃς οὐ πονεῖν με ἐδίδαξεν ἀλλὰ πόνους ἀλλοτρίους ἐσθίειν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστάμενοι.

μαι,οὐ μεμπτοί εἰσιν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕ-τως ἀγάγωσιν.

Ἀνὴρ, καὶ γυνή.

Ἔχων τὶς γυναῖκα, πρὸς τοὺς κατ' οἶκον ἅπαντας ἀπεχθῶς ἔχουσαν, ἠβουλήθη γνῶναι εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας οὕτω διάκειται. διὸ δὴ καὶ μετ' εὐλόγου προφάσεως πρὸς τὸν αὐτῆς αὐτὴν ἀποστέλλει πατέρα. μετὰ δ' ὀλίγας ἡμέρας ἐπανελθούσης αὐτῆς, ἐπυνθάνετο πῶς πρὸς τοὺς ἐκεῖ διεγένετο. τῆς δὲ φαμένης ὡς οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπεβλέποντο, πρὸς αὐτὴν ἔφη. ἀλλ' ὦ γύναι, εἰ τούτοις ἀπεχθάνῃ, οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾶν περὶ τούτων, οἷς πᾶσαν συνδιέτριβες τὴν ἡμέραν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα, κἀκ τῶν προδήλων τὰ ἄδηλα, γνωρίζεται.

Ἔριφος, καὶ λύκος.

Ἔριφος ὑστερήσασα τῆς ποίμνης, ὑπὸ λύκου κατεδιώκετο. ἐπιστραφεῖσα δὲ πρὸς αὐτὸν εἶπεν. ὦ λύκε, ἐπεὶ πέπεισμαι ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ ἀηδῶς ἀποθάνω, αὔλησον πρῶτον ὅπως ὀρχήσομαι. τοῦ δὲ λύκου αὐλοῦντος, καὶ τῆς ἐρίφου ὀρχουμένης, οἱ κύνες ἀκούσαντες τὸν λύκον ἐδίωκον. ὁ δὲ ἀποστραφεὶς τῇ ἐρίφῳ φησί. δικαίως ταῦτά μοι γίνεται. ἔδει γάρ με μάγειρον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῶν μὲν πρὸς ἃ πεφύκασιν ἀμελοῦντες,

ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμενοι, δυστυχίαις περιπίπτουσιν.

Καρκίνος, καὶ ἀλώπηξ.

Καρκίνος ἀπὸ τῆς θαλάσσης ἀναβὰς, ἐπί τινος ἐνέμετο τόπου. ἀλώπηξ δὲ λιμώττουσα ὡς ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. ὁ δὲ μέλλων καταβιβρώσκεσθαι, ἔφη. ἀλλ᾽ ἔγωγε δίκαια πέπονθα. ὃς θαλάττιος ὢν, χερσαῖος ἠβουλήθην γενέσθαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλιπόντες ἐπιτηδεύματα, καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦσιν.

Κιθαρῳδός.

Κιθαρῳδὸς ἀφυὴς ἐν οἴκῳ κεκονιαμένῳ συνήθως ᾄδων, καὶ ἀντηχούσης αὐτῷ τῆς φωνῆς, ᾤηθη σφόδρα εὔφωνος εἶναι. καὶ δὴ ἐπαρθεὶς ἐπὶ τούτῳ, ἔγνω δεῖν καὶ θεάτρῳ ἑαυτὸν ἐπιδοῦναι. ἀφικόμενος δὲ ἐπιδείξασθαι, καὶ κακῶς ᾄδων πάνυ, λίθοις αὐτὸν διώσαντες ἀπήλασαν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ῥητόρων ἔνιοι ἐν ταῖς σχολαῖς δοκοῦντες εἶναί τινες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοί εἰσιν.

Κλέπται.

Κλέπται εἴς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον, ὅτι μὴ ἀλεκτρυόνα. καὶ τοῦτον λαβόντες ἀπῄεσαν. ὁ δὲ μέλλων ὑπ᾽ αὐτῶν θύεσθαι, ἐδεῖτο ὡς ἂν αὐτὸν ἀπολύσωσι. λέγων, χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νύκτωρ αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. οἱ δὲ ἔφασαν

σαν, ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν. ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐναντιοῦται, ἃ τοῖς χρηστοῖς ἐστιν εὐεργετήματα.

Κορώνη, καὶ κόραξ.

Κορώνη φθονήσασα κόρακι, ἐπὶ τῷ δι' οἰωνῶν τοῖς ἀνθρώποις μαντεύεσθαι, καὶ διὰ τοῦτο μαρτυρουμένῳ ὡς προλέγοντι τὸ μέλλον, θεασαμένη τινὰς ὁδοιπόρους παριόντας, ἧκεν ἐπί τι δένδρον. καὶ στᾶσα, μεγάλως ἔκραξεν. τῶν δὲ πρὸς τὴν φωνὴν ἐπιστραφέντων, καὶ καταπλαγέντων, ὑποτυχών τις ἔφη. ἀπίωμεν ὦ οὗτοι. κορώνη γάρ ἐστιν, ἥτις κέκραγε. ἣ οἰωνισμὸν οὐκ ἔχει.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἁμιλλώμενοι, πρὸς τῷ τῶν ἴσων μὴ ἐφικέσθαι καὶ γέλωτα ὀφλισκάνουσι.

Κορώνη, καὶ κύων.

Κορώνη Ἀθηνᾷ θύουσα, κύνα ἐπὶ ἑστίασιν ἐκάλει. ὁ δὲ, πρὸς αὐτὴν ἔφη, τί μάτην τὰς θυσίας ἀναλίσκεις. ἡ γὰρ θεὸς οὕτω σε μισεῖ, ὡς κἀκ τῶν συνήθων σοι οἰωνῶν τὴν πίστιν περιελεῖν. καὶ ἡ κορώνη πρὸς αὐτὸν διὰ τοῦτο μᾶλλον αὐτῇ θύω, ἵνα διαλλαγῇ μοι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ διὰ κέρδος τοὺς ἐχθροὺς εὐεργετεῖν οὐκ ὀκνοῦσιν.

Κόραξ, καὶ ὄφις.

Κόραξ τροφῆς ἀπορῶν, ὡς κατεῖδεν ἔν τινι εὐηλίῳ τόπῳ

ἔφη. δείλαιος ἔγωγε, ὃς τὴν παρ' ἀνθρώποις μὴ ὑπομείνας δουλείαν, ἔλαθον ἐμαυτὸν τῆς ζωῆς στερήσας.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τινὲς ἔσθ' ὅτε μειζόνων κινδύνων ἑαυτοὺς βουλόμενοι ῥύσασθαι, εἰς μείζους περιπίπτουσιν.

Ἑρμῆς.

Ζεὺς ἑρμῇ προσέταξε πᾶσι τοῖς τεχνίταις ψεύδους φάρμακον ἐγχέειν. ὁ δὲ, τοῦτο ξίψας, καὶ μέτρον ποιήσας, ἴσον ἑκάστῳ ἐνέχεεν. ἐπεὶ δὲ μόνου τοῦ σκυτέως ὑπολειφθέντος, πολὺ κατελέλειπτο φάρμακον, ὅλην λαβὼν τὴν θυείαν ἐνέχεεν αὐτῷ. καὶ ἐκ τούτου συνέβη τοὺς τεχνίτας ἅπαντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς σκυτέας.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς ψευδολόγους τεχνίτας.

Ζεύς.

Ζεὺς πλάσας τοὺς ἀνθρώπους, τὰς μὲν ἄλλας διαθέσεις αὐτοῖς ἐνέθηκε. μόνην δ' ἐνθεῖναι τὴν αἰσχύνην ἐπελάθετο. διὸ καὶ μὴ ἔχων πόθεν ἂν αὐτὴν εἰσαγάγῃ, διὰ τοῦ ὄχλου αὐτὴν εἰσελθεῖν ἐκέλευσεν. ἡ δὲ, τὸ μὲν πρῶτον ἀντέλεγεν ἀναξιοπαθοῦσα. ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐνέκειτο, ἔφη. ἀλλ' ἔγωγε ἐπὶ ταύταις εἰσέρχομαι ταῖς ὁμολογίαις, ὡς ἂν ἔρως μὴ εἰσέλθῃ. ἂν δ' εἰσέλθῃ, αὐτὴ ἐξελεύσομαι παραυτίκα. ἀπὸ δὴ τούτου συνέβη πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ὑπ' ἔρωτος κατεχομένους, ἀναισχύντους εἶναι συμβαίνει.

ζεύς.

Ζεὺς γάμους τελῶν, πάντα τὰ ζῶα εἱστία. μόνης δὲ τῆς χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῆς ὑστερήσεως, ἐπυνθάνετο αὐτῆς, τίνος χάριν αὐτὴ ἐπὶ τὸ δεῖπνον οὐ παρεγένετο. τῆς δὲ εἰπούσης, οἶκος φίλος, οἶκος ἄριστος, ἀγανακτήσας κατ᾽ αὐτῆς, καταδίκασε τὸν οἶκον βαστάζουσαν περιφέρειν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον λιτῶς παρ᾽ ἑαυτοῖς ζῆν, ἢ παρ᾽ ἄλλοις πολυτελῶς.

Λύκος, καὶ πρόβατον.

Λύκος ὑπὸ κυνῶν δηχθεὶς, καὶ κακῶς πάσχων, ἐβέβλητο. τροφῆς δὲ ἀπορῶν, θεασάμενος πρόβατον, ἐδεῖτο ποτὸν ἐκ τοῦ παραῤῥέοντος αὐτῷ ποταμοῦ κομίσαι. εἰ γάρ σύ μοί φησι δώσεις ποτὸν, ἐγὼ τροφὴν ἐμαυτῷ εὑρήσω. τὸ δὲ, ὑποτυχὸν, ἔφη. ἀλλ᾽ ἐὰν ἐγὼ ποτὸν ἐπιδῶ σοι, σὺ καὶ τροφῇ μοι χρήσῃ.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς ἄνδρα κακοῦργον, δι᾽ ὑποκρίσεως ἐνεδρεύοντα.

Λαγωοί.

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. αἱ δὲ, ἔφασαν. ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κρείττοσι φιλονεικοῦντες, τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

Μύρμηξ.

Μύρμηξ ὁ νῦν, τὸ παλαιὸν ἄνθρωπος ἦν. καὶ τῇ γεωργίᾳ διηνεκῶς προσέχων, οὐ τοῖς ἰδίοις ἠρκεῖτο πόνοις. ἀλλὰ καὶ τοὺς τῶν γειτόνων καρποὺς ὑφῃρεῖτο. ὁ δὲ Ζεὺς ἀγανακτήσας ἐπὶ τῇ τούτου πλεονεξίᾳ, μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῶον, ὃ μύρμηξ καλεῖται. ὁ δὲ τὴν μορφὴν ἀλλάξας, τὴν διάθεσιν οὐ μετέβαλε. μέχρι γὰρ τοῦ νῦν τὰς ἀρούρας περιϊὼν, τοὺς τῶν ἑτέρων πόνους συλλέγει, καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Ἐπιμύθιον

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φύσει πονηροὶ κἂν τὰ μάλιστα τὸ εἶδος μεταβληθῶσι, τὸν τρόπον οὐ μεταβάλλουσι.

Νυκτερὶς, καὶ γαλῆ.

Νυκτερὶς ἐπὶ γῆς πεσοῦσα, ὑπὸ γαλῆς συνελήφθη. καὶ μέλλουσα ἀναιρεῖσθαι, περὶ σωτηρίας ἐδεῖτο. τῆς δὲ, φαμένης μὴ δύνασθαι αὐτὴν ἀπολῦσαι, φύσει γὰρ πᾶσι τοῖς πτηνοῖς πολεμεῖν, αὐτὴ ἔλεγεν οὐκ ὄρνις ἀλλὰ μῦς εἶναι, καὶ οὕτως ἀφείθη. ὕστερον δὲ πάλιν πεσοῦσα. καὶ ὑφ' ἑτέρας συλληφθεῖσα γαλῆς, μὴ βρωθῆναι ἐδεῖτο. τῆς δὲ, εἰπούσης ἅπασιν ἐχθραίνειν μυσὶν, αὐτὴ μὴ μῦς, ἀλλὰ νυκτερὶς ἔλεγεν εἶναι. καὶ πάλιν ἀπελύθη. καὶ οὕτω συνέβη δὶς αὐτὴν ἀλλαξαμένην τὸ ὄνομα, σωτηρίας τυχεῖν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς μὴ τοῖς αὐτοῖς ἀεὶ ἐπιμένειν. λογιζομένους, ὡς οἱ τοῖς καιροῖς συμμεταχηματιζόμενοι, πολλάκις τοὺς κινδύνους ἐκφεύγουσιν.

Ὁδοιπόροι.

Οἱ ὁδοιπόροι κατά τινα αἰγιαλὸν ὁδεύοντες, ἦλθον ἐπί τινα σκοπιάν. κἀκεῖθεν θεασάμενοι φρύγανα πόῤῥωθεν ἐπιπλέοντα ναῦν εἶναι μεγάλην ᾠήθησαν. διὸ δὴ προσέμενον ὡς μελλούσης αὐτῆς προσορμίζεσθαι. ἐπεὶ δὲ ὑπ' ἀνέμου φερόμενα τὰ φρύγανα ἐγγυτέρω ἐγένετο, οὐκέτι ναῦν, ἀλλὰ πλοῖον ἐδόκουν βλέπειν. ἐξενεχθέντα δ' αὐτὰ φρύγανα ὄντα ἰδόντες, πρὸς ἀλλήλους ἔφασαν. ὡς ἄρα μάτην ἡμεῖς τὸ μηδὲν ὂν προσεδεχόμεθα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων ἔνιοι δὴ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωσιν, οὐδενὸς εὑρίσκονται ἄξιοι.

Ὄνος ἄγριος.

Ὄνος ἄγριος ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν αὐτὸν ἐμακάριζεν, ἐπί τε τῇ εὐεξίᾳ τοῦ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη. ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω. ὁρῶ γάρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν κέρδη.

Ὄνοι.

Ὄνοι ποτὲ ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τῶν πόνων αἰτούμενοι. ὁ δ' αὐτοῖς ἐπιδεῖξαι βουλόμενος ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη, τότε αὐτοὺς

ἀπαλλαγήσε

ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποιήσωσι ποταμόν. κἀκεῖνοι αὐτὴν ἀληθεύειν ὑπολαβόντες, ἀπ' ἐκείνου καὶ μέχρι τοῦ νῦν ἔνθα οὖρον ἑτέρων ἴδωσιν ὄνων, ἐνταῦθα καὶ αὐτοὶ προσιστάμενοι οὐροῦσιν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἑκάστῳ τὸ πεπρωμένον ἀθεράπευτόν ἐστιν.

Ὄνος, καὶ ἀλώπηξ.

Ὄνος ἐνδυσάμενος λεοντῆν, περιῄει τὰ ἄλλα τῶν ζώων ἐκφοβῶν. καὶ δὴ θεασάμενος ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. ἡ δέ, ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα, πρὸς αὐτὸν ἔφη. ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγώ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων, τοῖς ἔξω δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

Ὄνος, καὶ βάτραχοι.

Ὄνος ξύλα βαστάζων, διέβαινέ τινα λίμνην. ὀλισθήσας δέ, ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος, ὠδύρετό τε καὶ ἔστενεν. οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι τοῦ στεναγμοῦ τούτου ἀκούσαντες, ὦ οὗτος ἔφασαν, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς. ὅτε πρὸς ὀλίγον πεσών, οὕτως ὀδύρῃ.

Ἐπιμύθιον.

τούτῳ τῷ λόγῳ χρήσαιτ' ἄν τις πρὸς ἄνδρα ῥᾴθυμον ὑπὸ ἐλαχίστοις πόνοις δυσφοροῦντα, αὐτὸς τοὺς πλείους ῥᾳδίως ὑφιστάμενος.

Ὄνος, καὶ κόραξ.

Ὄνος ἡλκωμένος τὸν νῶτον, ἔν τινι λειμῶνι ἐνέμετο. κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ, καὶ τὸ ἕλκος ξαίνοντος, ὁ ὄνος ὠγκᾶτο καὶ ἥλατο. τοῦ δὲ ὀνηλάτου πόῤῥωθεν ἑσταμένου καὶ γελῶντος, λύκος παριὼν αὐτὸν εἶδε καὶ ἔφη. ἄθλιοι ἡμεῖς, οἳ κἂν μόνον ὀφθῶμεν αὐτοῖς διωκόμεθα, τούτῳ δὲ καὶ προσεγγελῶσιν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων, καὶ μόνον φανέντες δῆλοί εἰσιν.

Ὄνος, καὶ ἀλώπηξ.

Ὄνος, καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους, ἐξῆλθον εἰς ἄγραν. λέοντος δ᾽ αὐτοῖς περιτυχόντος, ἡ ἀλώπηξ τὸν ἐπηρτημένον ὁρῶσα κίνδυνον προσελθοῦσα τῷ λέοντι, παραδώσειν αὐτῷ τὸν ὄνον ὑπέσχετο, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγείληται. τοῦ δὲ ἀπολύσειν αὐτὴν φήσαντος, ἐκείνη παραγαγοῦσα τὸν ὄνον, εἴς τινα πάγιν ἐμπεσεῖν παρεσκεύασε, καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον, πρώτην τὴν ἀλώπεκα συνέσχεν, εἶθ᾽ οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες, λανθάνουσι πολλάκις καὶ αὐτοὺς προσαπολοῦντες.

Ὄρνις, καὶ χελιδών.

Ὄρνις ὄφεως ᾠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. χελιδὼν δὲ θεασαμένη αὐτήν, ἔφη. ὦ ματαία, τί ταῦτα τρέφεις, ἅπερ αὐξηθέντα, ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται.

Ἐπιμύθιον.

ὁ μῦθος

ὁ μῦθος δηλοῖ, ὅτι ἀτιθάσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

Κάμηλος.

Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες, καὶ τὸ μέγεθος καταπλαγέντες, ἔφυγον. ὡς δὲ χρόνου προϊόντος, συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάῤῥησαν μέχρι τοῦ προσελθεῖν. αἰσθόμενοι δὲ κατὰ μικρὸν τὸ ζῶον ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥς τε καὶ χαλινοὺς αὐτῇ περιθέντες, παισὶν ἐλαύνειν δεδώκασιν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων, ἡ συνήθεια εὐκαταφρόνητα ποιεῖ.

Ὄφις.

Ὄφις ὑπὸ πολλῶν ἀνθρώπων πατούμενος, τῷ Διῒ ἐνετύγχανεν. ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν. ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πρότερον ἐπιβαίνουσιν ἀνθιστάμενοι, τοῖς ἄλλοις φοβεροὶ γίνονται.

Περιστερά.

Περιστερὰ δίψῃ συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι τόπῳ κρατῆρα ὕδατος γεγραμμένον, ἐνόμισεν ἀληθινὸν εἶναι. διὸ καὶ πολλῷ τῷ ῥοίζῳ ἐνεχθεῖσα, ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐμπεσοῦσα, ὥς καὶ τῶν πτερῶν αὐτῆς περικλασθέντων καταπεσεῖν ἐπὶ γῆν, καὶ ὑπό τινος τῶν παρατυχόντων ἁλῶναι.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρὰς προθυμίας, ἀπερισκέπτως πράγμασιν ἐγχειροῦντες, ἐμβάλλουσιν ἑαυτοὺς εἰς ὄλεθρον.

Περιστερὰ, καὶ κορώνη.

Περιστερὰ ἔν τινι περιστερεῶνι τρεφομένη, ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. κορώνη δ' αὐτῆς ἀκούσασα ἔφη. ἀλλ' ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ σεμνυνομένη. ὅσῳ γὰρ ἂν πλείονα τίκτῃς, τοσούτῳ καὶ πλείους λύπας συνάγεις. Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν οἰκετῶν δυστυχέστατοί εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ πολλὰ τέκνα ποιοῦσιν.

Πλούσιος.

Πλούσιος δύο θυγατέρας ἔχων, τῆς μιᾶς ἀποθανούσης, θρηνούσας ἐμισθώσατο. τῆς δ' ἑτέρας παιδὸς λεγούσης, ὡς ἄθλιαι ἡμεῖς, αἵγε αὐταὶ ὧν ἐστὶ τὸ πένθος θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μὴ προσήκουσαι οὕτω σφοδρῶς κόπτονται, ἡ μήτηρ ἔφη. μὴ θαύμαζε τέκνον, εἰ αὗται οὕτω θρηνοῦσιν. ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

Ποιμήν.

Ποιμὴν ἐλάσας εἴς τινα δρυμῶνα τὰ πρόβατα, ὑποστρώσας ὑπὸ δρῦν τὸ ἱμάτιον, καὶ ἀναβὰς τὸν καρπὸν κατέσειε. τὰ δὲ πρόβατα ἐσθίοντα τοὺς βαλάνους, ἔλαθον καὶ τὰ ἱμάτια συγκαταφαγόντα. ὁ δὲ ποιμὴν καταβὰς, ὡς εἶδε τὸ γεγονὸς, ὦ κάκιστα ἔφη ζῶα. ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτας παρέχετε, ἐμοῦ δὲ τρέφοντος ὑμᾶς, καὶ τὸ ἱμάτιον ἀφείλεσθε.

Ἐπιμύθιον

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ πολλοὶ τῶν ἀνθρώπων διʼ ἄνοιαν, τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες, κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

Ἁλιεὺς, καὶ σμαρίς.

Ἁλιεὺς τὸ δίκτυον χαλάσας ἐν τῇ θαλάττῃ, ἀνήνεγκε σμαρίδα. σμικρὰ δὲ οὖσα, ἱκέτευεν αὐτὸν νῦν μὲν μὴ λαβεῖν αὐτὴν, ἀλλʼ ἐᾶσαι διὰ τὸ σμικρὰν τυγχάνειν. ἀλλʼ ὅταν αὐξηθῶ καὶ μεγάλη φυσιωθῶ μαι, συλλαβεῖν με δυνήσῃ, ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν ἔσομαι. καὶ ὁ ἁλιεὺς εἶπεν. ἀλλʼ ἔγωγε ἄνους ἂν εἴην, εἰ τὸ ἐν χερσὶ παρεὶς κέρδος κἂν σμικρὸν ᾖ, τὸ προσδοκώμενον κἂν μέγα ὑπάρχῃ ἐλπίζειν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἀλόγιστος ἂν εἴη, ὁ διʼ ἐλπίδα μείζονος, τὰ ἐν χερσὶν ἀφεὶς σμικρὰ ὄντα.

Ἵππος, καὶ ὄνος.

Ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. ὁδευόντων δὲ ἐν τῇ ὁδῷ, εἶπεν ὁ ὄνος τῷ ἵππῳ. ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶον. ὁ δὲ οὐκ ἐπείθη, ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου ἐτελεύτησεν. τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ καὶ αὐτὴν τὴν ὄνου δορὰν, θρηνῶν ὁ ἵππος ἐβόα. οἴμοι τῷ πανάθλίῳ, τί μοι συνέβη τῷ ταλαιπώρῳ. μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες, ἀμφότεροι σωθήσονται ἐν βίῳ.

Ἄνθρωπος, καὶ σάτυρος.

Ἄνθρωπός τις πρὸς σάτυρον φιλίαν ποιησάμενος, συνεσθίων ἦν αὐτῷ. χειμῶνος δὲ καὶ ψύχους γενομένου, ὁ ἄνθρωπος τὰς χεῖρας αὐτοῦ προσφέρων τῷ στόματι ἐπέπνει. τοῦ δὲ σατύρου ἐπερωτήσαντος, δι' ἣν αἰτίαν τοῦτο πράττει, ἔφη. τὰς χεῖράς μου θερμαίνω ἐκ τοῦ κρύους. μετὰ μικρὸν δὲ ἐδέσματος θερμοῦ προσενεχθέντος, ὁ ἄνθρωπος προσφέρων τῷ στόματι ἐφύσα αὐτό. πυνθανομένου δὲ πάλιν δι' ἣν αἰτίαν τοῦτο πράττει, ἔφη. τὸ ἔδεσμα καταψύχω. ὑπολαβὼν δὲ ὁ σάτυρος, ἀλλ' ἔγωγε ἔφη ἀπὸ τοῦ νῦν ἀποτάσσομαί σου τῆς φιλίας, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τό τε θερμὸν καὶ τὸ ψυχρὸν ἐξάγεις.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ φεύγειν ἡμᾶς τὰς φιλίας, ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

Ἀλώπηξ, καὶ δρυοτόμος.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα, καὶ ἐν ἐρημίᾳ πολλῷ δρόμον ἀνύουσα, ἄνδρα δρυοτόμον εὑρίσκει ἐν ταύτῃ. ὃν καθικέτευε τοῦ κρύψαι αὐτήν. τοῦ δὲ ὑποδείξαντος αὐτῇ τὴν ἑαυτοῦ καλύβην, εἰσελθοῦσα ἐκρύπτετο εἰς τὰς γωνίας. τῶν δὲ κυνηγετῶν ἐλθόντων καὶ ἐρωτώντων τὸν ἄνδρα, οὗτος τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι. τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυ. οἱ δὲ μὴ προσχόντες, ἀπῆλθον παραχρῆμα. ὡς οὖν εἶδεν αὐτοὺς ἡ ἀλώπηξ παρελθόντας, ἐξῆλθεν οὐ προσφωνοῦσα. μεμφομένου δὲ αὐτὴν ἐκείνου, ὡς σωθεῖσαν μὲν δι' αὐτοῦ, χάριτας δὲ αὐτῷ οὐχ ὁμολογοῦσαν, ἡ ἀλώπηξ ἐπιστραφεῖσα ἔφη. ὦ οὗτος, ἀλλ' ἔγωγε ᾔδειν ἄν σοι χάριτας, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρός, καὶ τοὺς τρόπους

εἶχες.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς τοὺς χρυσὰ μὲν ἐπαγγελλομένους τοῖς λόγοις, ἐναντία δὲ ποιοῦντας τοῖς ἔργοις.

Ἄνθρωπος, καταθραύσας ἄγαλμα.

Ἄνθρωπός τις ξύλινον ἔχων θεὸν, καθικέτευε τοῦ ἀγαθοποιῆσαι αὐτόν. ὡς οὖν ταῦτα ἔπραττεν, καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθεὶς, ἄρας αὐτὸν τῶν σκελῶν, ἔῤῥιψεν εἰς τὸ ἔδαφος. προσκρουσάσης οὖν τῆς κεφαλῆς καὶ αὐτίκα κλασθείσης, χρυσὸς ἐξέῤῥυσεν ὅτι πλεῖστος. ὃν περ δὴ συνάγων ὁ ἄνθρωπος ἐβόα. στρεβλὸς ὑπάρχεις ὥς γε οἶμαι καὶ ἀγνώμων. τιμῶντά σε γὰρ ἥκιστά με ὠφέλησας. τυπτήσαντα δέ σε, πολλοῖς καλοῖς ἀμείβη.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον. τύπτων δὲ αὐτὸν μᾶλλον ὠφελήσῃ.

Ἄνθρωπος, καὶ κύων.

Ἄνθρωπός τις ἡτοίμαζε δεῖπνον, ἑστιάσων τινὰ τῶν φίλων αὐτῷ καὶ οἰκείων. ὁ δὲ κύων αὐτοῦ ἄλλον κύνα ἐκάλει λέγων, ὦ φίλε, δεῦρο συνδειπνήσόν μοι. ὁ δὲ, προσελθὼν, χαίρων ἵστατο βλέπων τὸ μέγαν δεῖπνον, βοῶν ἐν τῇ καρδίᾳ, βαβαί. πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη. ξαφήσομαί τε γὰρ καὶ εἰς κόρον δειπνήσω, ὥς τέ με αὔριον μηδαμῆ γε πεινᾶσαι, ταῦτα καθ' ἑαυτὸν λέγοντος τοῦ κυνὸς, καὶ ἅμα σείοντος τὴν κέρκον, ὡς δὴ εἰς τὸν φίλον θαῤῥοῦντος, ὁ μάγειρος ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, καταχὼν τὰ σκέλη αὐτοῦ, ἔῤῥιψε παραχρῆμα ἔξωθεν τῶν θυρίδων. ὁ δὲ κατιὼν, ἀπῄει

μεγάλως κράζων. τῶν τις δὲ κυνῶν, τῶν καθ' ὁδὸν αὐτῷ συναντώντων, ἐπηρώτα, πῶς ἐδείπνησας φίλε; ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη. ἐκ γὰρ πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον, οὐδὲ τὴν ὁδὸν αὐτὴν ὅθεν ἐξῆλθον οἶδα.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαῤῥεῖν τοῖς δῆθεν ἀλλοτρίων εὖ ποιεῖν ἐπαγγελλομένοις.

Ἁλιεύς.

Ἁλιεὺς ἁλιευτικῆς ἄπειρος, λαβὼν αὐλοὺς καὶ δίκτυα, παρεγένετο εἰς τὴν θάλασσαν. καὶ στὰς ἐπί τινος πέτρας, τὸ μὲν πρῶτον ηὔλει, νομίζων πρὸς τὴν ἡδυφωνίαν τοὺς ἰχθύας ἐφάλλεσθαι. ὡς δ' ἐπὶ πολὺ διατεινόμενος ἤνυεν οὐδέν, ἀποθέμενος τοὺς αὐλούς, ἀναλαμβάνει τὸ ἀμφίβληστρον. καὶ βαλὼν κατὰ τοῦ ὕδατος, πολλοὺς ἰχθύας ἤγρευσεν. ἐκβαλὼν δὲ αὐτοὺς ἀπὸ τοῦ δικτύου, ὡς εἶδε πηδῶντας, ἔφη. ὦ κάκιστα ζῶα, ὅτε ηὔλουν, οὐκ ὠρχεῖσθε. ὅτε δὲ πέπαυμαι, τοῦτο ποιεῖτε.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς τοὺς παρὰ λόγον καὶ παρὰ καιρόν τι πράττοντας.

Βουκόλος.

Βουκόλος ἀγέλην ταύρων βόσκων ἀπώλεσε μόσχον. περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον διέτριβεν ἐρευνῶν. ὡς δὲ οὐδὲν εὑρεῖν ἐδύνατο, ηὔξατο τῷ Διΐ, ἂν τὸν λαβόντα μόσχον κλέπτην ὑποδείξῃ, ἔριφον εἰς θυσίαν προσάξειν. καὶ δὴ ἐρχόμενος εἴς τινα δρυμῶνα, εὑρίσκει λέοντα κατεσθίοντα τὸν μόσχον. ἔμφοβος

βος οὖν γενόμενος, καὶ μέγα δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπεν. ὦ δέσποτα Ζεῦ ἐπηγγελάμην σοι ἔριφον δώσειν, ἐὰν τὸν κλέπτην εὕρω, νῦν ταῦρόν σοι θύσειν ὑπισχνοῦμαι, ἐὰν τούτου τὰς χεῖρας ἐκφύγω.

Ἐπιμύθιον.

ὁ μῦθος πρὸς ἄνδρας δυστυχεῖς, οἵ τινες ἀποροῦντες μὲν, εὔχονται εὑρεῖν. εὑρόντες δὲ, ζητοῦσιν ἀποφυγεῖν.

Κόραξ.

Κόραξ νοσῶν ἔφη τῇ μητρὶ, μῆτερ εὔχου τοῖς θεοῖς καὶ μὴ θρήνει. ἡ δ' ὑπολαβοῦσα ἔφη. τίς σε ὦ τέκνον τῶν θεῶν ἐλεήσει. τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες, οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

Ἀετός.

Ὑπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο, λαγωὸν θηρεῦσαι ζητῶν. τοῦτον δέ τις ἔβαλε τοξεύσας. ἐπεὶ τὸ μὲν βέλος, ἐντὸς αὐτοῦ εἰσῆλθεν. ἡ δὲ γλυφὴ σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. ὁ δὲ ἰδὼν ἔφη. καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνήσκειν.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι δεινόν ἐστιν, ὅταν τις ἐκ τῶν ἰδίων κινδυνεύσῃ.

Τέττιξ, καὶ μύρμηκες.

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον. τέττιξ δὲ λιμώττων, ᾔτει αὐτοὺς

τροφὴν

τροφήν. οἱ δὲ μύρμηκες εἶπον αὐτῷ, διατί τὸ θέρος οὐ συνῆγες τροφήν. ὁ δὲ εἶπεν, οὐκ ἐσχόλαζον, ἀλλ᾽ ᾖδον μουσικῶς. οἱ δὲ, γελάσαντες εἶπον. ἀλλ᾽ εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὄρχου.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

Σκώληξ, καὶ ἀλώπηξ.

Ο τῷ πηλῷ κρυπτόμενος σκώληξ εἰς γῆν ἐξελθὼν, ἔλεγε πᾶσι τοῖς ζώοις. ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷός ἐστιν ὁ τῶν θεῶν ἰατρὸς παίων, καὶ πῶς εἶπεν ἀλώπηξ ἄλλους ἰώμενος, σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω;

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ πεῖρα, πᾶς λόγος ἀργὸς ὑπάρχει.

Ὄρνις χρυσοτόκος.

Ὄρνιθά τις εἶχεν ὠὰ χρυσᾶ τίκτουσαν. καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.

Λέων, καὶ ἀλώπηξ.

Λέων γηράσας, καὶ μὴ δυνάμενος διαρκέσαι αὐτῷ εἰς τροφὴν, ἔγνω δι᾽ ἐπινοίας τί πρᾶξαι καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ καὶ κατακλεισθεὶς, προσεποιεῖτο νοσεῖν. παραγενόμενα οὖν τὰ

ζῶα ἐπισκέψεως χάριν, συλλαμβάνων κατήσθιεν αὐτά. πολλῶν οὖν ζώων ἀναλωθέντων, ἀλώπηξ τὸ τέχνασμα τοῦτο γνοῦσα, παρεγένετο πρὸς αὐτὸν. καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου, ἐπυνθάνετο πῶς ἔχει. τοῦ δὲ εἰπόντος κακῶς, καὶ τὴν αἰτίαν πυνθανομένου δι' ἣν οὐκ εἰσέρχεται, ἡ ἀλώπηξ ἔφη, ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων, ὀλίγων δὲ ἐξιόντων.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ἐκ τῶν τεκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσιν.

Λύκος, καὶ γραῦς.

Λύκος λιμώττων, περιῄει ζητῶν τροφήν. γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος καὶ γραὸς λεγούσης αὐτῷ, παῦσαι τοῦ κλαίειν. εἰ δὲ μὴ, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. οἰόμενος δὲ ὁ λύκος ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. ὡς δ' ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον καὶ λεγούσης αὐτῷ, ἐὰν ἔλθῃ ὁ λύκος δεῦρο, φονεύσομεν ὦ τέκνον αὐτόν. ταῦτα ἀκούσας ὁ λύκος, ἐπορεύετο λέγων, ἐν ταύτῃ τῇ ἐπαύλει, ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς ἀνθρώπους, οἵτινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

Ἔριφος, καὶ λύκος.

Ἔριφος ἐπί τινος δώματος ἑστὼς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. ὁ δὲ λύκος ἔφη, ὦ οὗτος οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.

Ἐπιμύθιον.

ὁ μῦθος

ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

Ἡμίονος.

Ἡμίονος ἐκ κριθῆς παχυνθεὶς, ἀνεσκίρτησε βοῶν καὶ λέγων, πατήρ μου ἐστὶν ἵππος ὁ ταχυδρόμος. κἀγὼ αὐτῷ ὅλος ἀφωμοιώθην. καί ποτε ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ τοῦ δρόμου ἐπαύσατο, τοῦ πατρὸς ὄνου εὐθὺς ὑπεμνήσθη.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι κἂν ὁ χρόνος εἰς δόξαν φέρῃ τινὰ, τῆς ἑαυτοῦ γενικῆς τύχης μὴ ἐπιλανθανέσθω. ἀβέβαιος γάρ ἐστι ὁ βίος οὗτος.

Ὄφις, καὶ γεωργός.

Ὄφις ἐν γεωργοῦ προθύροις φωλεύων, ἀνεῖλεν αὐτοῦ τὸ νήπιον παιδίον. πένθος δὲ τοῖς γονεῦσιν ἐγένετο μέγα. ὁ δὲ πατὴρ ὑπὸ τῆς λύπης πέλεκυν λαβὼν, ἔμελλεν τὸν ὄφιν ἐξελθόντα φονεύσειν. ὡς δὲ ἔκυψε μικρὸν, σπεύσας ὁ γεωργὸς τοῦ πατάξαι αὐτὸν, ἠστόχησε, μόνον κρούσας τὴν τῆς τρώγλης ὀπήν. ἀπελθόντος δὲ τοῦ ὄφεως, ὁ γεωργὸς νομίσας τὸν ὄφιν μηκέτι μνησικακεῖν, λαβὼν ἄρτον καὶ ἅλας ἔθηκεν ἐν τῇ τρώγλῃ. ὁ δὲ ὄφις λεπτὸν συρίξας, εἶπεν. οὐκ ἔσται ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τύμβον τοῦ σοῦ τέκνου.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐδεὶς μίσους, ἢ ἀμύνης ἐπιλανθάνεται, ἐφ' ὅσον βλέπει μνημόσυνον, δι' οὗ ἐλυπήθη.

Σαλπιγκτής.

Σαλπιγκτὴς στρατὸν ἐπισυνάγων, καὶ κρατηθεὶς

ὑπὸ

ὑπὸ τῶν πολεμίων, ἐβόα μὴ κτείνετέ με ὦ ἄνδρες εἰκῆ καὶ μάτην, οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα. πλὴν τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι. οἱ δὲ πρὸς αὐτὸν ἔφασαν, διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν, τοὺς πάντας πρὸς μάχην ἐγείρεις.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας ἐπεγείροντες, εἰς τὸ κακοποιεῖν.

Κάλαμος, καὶ ἐλαία.

Διὰ καρτερίαν καὶ ἰσχὺν καὶ ἡσυχίαν κάλαμος καὶ ἐλαία ἤριζον. τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας, ὡς ἀδυνάτου καὶ ῥαδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος σιωπῶν οὐκ ἐφθέγξατο. καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρὸς, ὁ μὲν κάλαμος ὑποσεισθεὶς καὶ ὑποκλινθεὶς τοῖς ἀνέμοις ῥαδίως, διεσώθη. ἡ δὲ ἐλαία ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη τῇ βίᾳ.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιστάμενοι, κρείττους εἰσὶ τῶν πρὸς μείζονας φιλονεικούντων.

Λύκος, καὶ γέρανος.

Λύκου λαιμῷ ὀστέον ἐπεπήγει. ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. ἡ δὲ τοῦτ᾽ ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. ὁ δὲ γελάσας, καὶ τοὺς ὀδόντας θήξας, ἀρκεῖ σοι μισθὸς ἔφη τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξήγειρες κάραν σώαν μηδὲν παθοῦσαν.

ἐπιμύθιον

Ἐπιμύθιον.

ὁ μῦθος πρὸς ἄνδρας, οἵτινες ἀπὸ κινδύνου διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

Ἀλέκτορες.

Ἀλεκτόρων δύο μαχομένων περὶ θηλειῶν ὀρνίθων, ὁ εἷς τὸν ἕτερον κατεξοπώσατο. καὶ ὁ μὲν ἡττηθεὶς εἰς τόπον κατάσκιον ἀπιὼν ἐκρύβη. ὁ δὲ νικήσας, εἰς ὕψος ἀρθεὶς, καὶ ἐφ᾽ ὑψηλοῦ τοίχου στὰς, μεγαλοφώνως ἐβόησε. καὶ παρ᾽ εὐθὺς ἀετὸς καταπτὰς, ἥρπασεν αὐτόν. ὁ δ᾽ ἐν σκότῳ κεκρυμμένος ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινε.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Γέρων, καὶ θάνατος.

Γέρων ποτὲ ξύλα κόψας, καὶ ταῦτα φέρων, πολλὴν ὁδὸν ἐβάδιζε. καὶ διὰ τὴν πολλὴν κόπον ἀποθέμενος ἐν τόπῳ τινὶ τὸν φόρτον, τὸν θάνατον ἐπεκαλεῖτο. τοῦ δὲ θανάτου παρόντος, καὶ πυνθανομένου τὴν αἰτίαν δι᾽ ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων, ἔφη. ἵνα μου τὸν φόρτον ἄρῃς.

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλοζωεῖ, εἰ καὶ δυστυχεῖ, καὶ πτωχὸς ἐστί.

Βάτραχοι.

Βάτραχοι δύο ξηρανθείσης τῆς λίμνης ἐν ᾗ κατῴκουν, περιῄεσαν ζητοῦντες ποῦ καταμεῖναι. καὶ ἐλθόντες εἰς φρέαρ βαθὺ, καὶ κύψαντες κάτω, καὶ ἰδόντες τὸ ὕδωρ, ὁ μὲν εἷς συνεβούλευεν ἵνα πηδήσωσι παρευθὺς κάτω. ὁ δ᾽ ἕτερος εἶπεν, εἰ δὲ καὶ τοῦτο ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι.

ἐπιμύθιον

Ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ἄνευ συμβουλῆς μὴ ποιεῖν τι.

Ἀρνὸς, καὶ λύκος.

Ἀρνὸς ἐφ᾽ ὑψηλοῦ τόπου ἱστάμενος, λύκον κάτωθεν παριόντα τὴν ὁδὸν ἔσκωπτε. καὶ θηρίον κακὸν ἀπεκάλει καὶ ὠμοβόρον. ὁ δὲ λύκος στραφεὶς εἶπε πρὸς αὐτὸν. οὐ σύ με λοιδορεῖς, ἀλλ᾽ ὁ τόπος ἐν ᾧ ἵστασαι. Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς τοὺς ὑπομένοντας ὕβριν ἀπὸ ἀναξίων ἀνθρώπων, διὰ φόβον ὑψηλοτέρων.

Κώνωψ, καὶ λέων.

Κώνωψ πρὸς λέοντα ἐλθὼν εἶπε. οὐ δὲ φοβοῦμαί σε οὐ δὲ δυνατώτερός μου εἶ. εἰ δὲ μή, τί σοί ἐστιν ἡ δύναμις, ὅτι ξύεις τοῖς ὄνυξι καὶ δάκνεις τοῖς ὀδοῦσι; τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη ποιεῖ. ἐγὼ δὲ λίαν ὑπάρχω σου ἰσχυρότερος. εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον. καὶ σαλπίσας ὁ κώνωψ, ἐνεπήγετο δάκνων τὰ περὶ τὰς ῥῖνας αὐτοῦ ἄτριχα πρόσωπα. ὁ δὲ λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτὸν, ἕως οὗ ἠγανάκτησεν. ὁ δὲ κώνωψ νικήσας τὸν λέοντα, καὶ σαλπίσας, καὶ ἐπινίκιον ᾄσας, ἔπταρ. ἀράχνης δὲ δεσμῷ ἐμπλακεὶς, ἐσθιόμενος ἀπωδύρετο. ὅτι μεγίστοις πολεμῶν, ὑπὸ εὐτελοῦς ζώου τῆς ἀράχνης ἀπώλετο.

Ἐπιμύθιον.

ὁ μῦθος, πρὸς τοὺς καταβάλλοντας μέγα, καὶ ὑπὸ μικρῶν καταβαλλομένους.

ΤΕΛΟΣ ΤΩΝ ΑΙΣΩ
ΠΟΥ ΜΥΘΩΝ.

ΓΑΒΡΙΟΥ ΕΛΛΗΝΟΣ ΤΕΤΡΑΣΤΙΧΑ.

Περὶ ἀνθρώπου, καὶ λιθίνου λέοντος.

Ἀνδρὸς ποσὶν πατεῖτο πέτρινος λέων,
καί τις λέων, τί φησὶ τὴν τέχνην βλέπεις;
ἀλλ' εἰ λέοντες εἴπερ ᾔδησαν γλύφειν,
πολλοὺς ἂν εἶδες ὄντας ἀνθρώπους λίθους.

Ἐπιμύθιον, ὅτι ἐπ' ἀρετῇ, οὐ δεῖ σεμνύνεσθαι.

Περὶ λέοντος κοιμωμένου, καὶ μυός.

Λέοντος ὑπνώττοντος, αὐχένος μέσον
διέδραμεν μῦς, ὃς δ' ἀνέστη συντόμως.
γελᾷ δ' ἀλώπηξ, καὶ λέων ἀπεκρίθη,
οὐ μὲν πτοοῦμαι, τὴν ὁδὸν δ' ἀναστρέπω.

Ἐπιμύθιον, ὅτι οὐ δεῖ καὶ μικρὰν περίφρασιν ἀποστρέφεσθαι.

Περὶ λέοντος καὶ κάπρου, καὶ γυπῶν.

Λέων μάχην ἔστησε πρός ποτε κάπρῳ.
γύπες δ' ἄνωθεν ἐσκόπευον τὴν ἔριν,
βρῶσιν τὸν ἡττηθέντα ποιῆσαι τάχα.
φίλους δ' ὁρῶντες ἤσχοντο τῶν ἐλπίδων.

Ἐπιμύθιον, ὅτι οὐ δεῖ ἀλλοτρίοις κακοῖς ἐπιχαίρειν.

Περὶ δορκάδος καὶ λέοντος θυμωθέντος.

Λέοντα δορκὰς ὡς ἴδεν μεμηνότα,
ὦ μοῖρα θηρῶν εἴπερ ἀθλιωτάτη.
εἰ σωφρονῶν γε, δυσκάθεκτος εἰ λέων,
πῶς νῦν μανεὶς οὐ μετὰ δακρύων δράσεις;

Ἐπιμύθιον, ὅτι ἐξουσίαν ἔχοντα οὐ δεῖ θυμοῦσθαι.

Περὶ λέοντος, ὄνου, ἀλώπεκος.

Λέων

Λ έων, όνος, κερδώ, τι πρὸς θήραν ἴον.
ὄνου δὲ ταύτην εἰς τρίτον δεδασμένου,
λέων κατεσπάραξε, κερδὼ δὲ πλέον
ἔνειμεν αὐτῷ, σωφρονισθεῖσ' ἐξ ὄνου.
Ἐπιμύθιον, ὅτι δεῖ ἐξ ὧν πάσχουσιν ἕτεροι, παιδεύεσθαι.

περὶ ὄνου βαστάζοντος εἴδωλον.

Ὥμοις ὄνος ποτ' ἦγεν ἀργυροῦν βρέτας.
ὅπερ συνάντων, πᾶς τις αὖ ἐπροσκύνει.
τύφῳ δ' ἐπαρθεὶς, μὴ θέλων μένειν ὄνος,
ἤκουσεν οὐ θεὸς σὺ, τὸν θεὸν δ' ἄγεις.
Ἐπιμύθιον, ὅτι τοὺς ἐν ἀξιώμασι τιμωμένους δεῖ γινώσκειν, ὅτι ἄνθρωποί εἰσιν.

περὶ παιδὸς ἐσθίοντος σπλάγχνα.

Βοὸς φαγὼν παῖς εἰς ἑορτὴν ἔγκατα,
οἴμοι κέκληγ' ὡς σπλάγχνα μῆτερ ἐκχέω.
ἡ δ' αὖ γελῶσα μὴ φοβοῦ τέκνον ἔφη.
τῶν σῶν γὰρ οὐδὲν, ἀλλ' ἐμεῖς ἀλλοτρίων.
Ἐπιμύθιον, ὅτι δεῖ τἀλλότρια ἀντιστρέφειν, καὶ μὴ γογγύζειν.

περὶ ἀλώπεκος καὶ βάτου.

Φραγμοὺς ἀλώπηξ ὡς ὑπερβαίνειν θέλειν,
ὀλισθάνουσα, καὶ βάτου δεδραγμένη,
ἔξεσο πέλμα, λοιδορεῖ δὲ τὴν βάτον.
μέμφου σεαυτὴν, μή με τοῦ κἀνθου φάρ.
Ἐπιμύθιον, πρὸς τοὺς τὰ ἑαυτῶν κακὰ σιωπῶντας, τὰ δὲ τῶν ἑτέρων κατηγοροῦντας.

περὶ κώνωπος, καὶ ταύρου.

Κώνωψ καθῆστο πρὸς κέρας ταύρου πάλαι,
ὃν τοῦ κελεύειν εἶπερ ἐκπτῆναι θέλει,

ἤκουσε δ᾽ ὡς πῦρ οὐκ ἔγνω καθημένον,
οὕτω δὲ μὴ πλήσαντος αἴσθησιν λάβῃ.
Ἐπιμύθιον πρὸς τοὺς λογιζομένους ἑαυτοὺς εἶναι
ἢ σοφοὺς, ἢ δυνατοὺς· ἢ φρονίμους, μὴ ὄντας δέ.

περὶ ἐλάφου, καὶ ἀμπέλου.

Ἔλαφον διήλαυνον οἱ κυνηγέται,
ἥ τις δασείαις ἀμπέλοις ἀπεκρύβη.
τὰ φύλλα βιβρώσκουσα δὴ τῶν ἀμπέλων.
κυνηγετοῦσιν ἐνδίκως ἐθηράθη.
Ἐπιμύθιον πρὸς τοὺς κακοποιοῦντας τοὺς αὐτῶν
εὐεργέτας.

περὶ ὄφεως, καὶ γεωργοῦ.

Ὅφιν θέλων τὶς ἀντ᾽ ὀλέθρου παιδίου,
πλήττειν, πέζαν τ᾽ ἔχιζε, καὶ φιλεῖν θέλειν.
ὄφις δέ φησὶ, πῶς γένοιντο συμβάσεις.
ἕως σὺ τύμβον, τὸν δ᾽ ἐγὼ πέτρον βλέπω;
Ἐπιμύθιον, ὅτι αἱ μεγάλαι ἔχθραι, δυσδιάλλακτοί εἰσιν.

περὶ παιδὸς, καὶ σκορπίου.

Ὡς ἀκρίδας θήρευε παῖς τὶς, σκορπίῳ.
προύτεινε χεῖρας. ὅς δὲ, μὴ ψαύσῃς ἔφη.
ὡς εἴγε μου ψαύσειας, ἐκ κόλπων στένων,
καὶ τὰς ἀληθεῖς ἐκκενώσεις ἀκρίδας.
Ἐπιμύθιον, ὅτι δεῖ κακοῖς ἀνθρώποις, μὴ συμμίγνυσθαι.

περὶ σύος, καὶ μυός.

Σῦς εἷλκέ τὶς μῶν ἔργον ὄντ᾽ ἀσιτίας.
οὓς χαλκέες βλέποντες, ἔστησαν γέλων.
ὁ μῦς δ᾽ ἔτι ζῶν, εἶπε μεσὸς δακρύων,
ὡς οὐ δὲ σῶν δύνασθε κἂν τρέφειν ἕνα.
Ἐπιμύθιον πρὸς τοὺς τὰ ἑαυτῶν παραπτώματα

παραβλέ/

παραβλέποντας, τὰ δὲ τῶν ἑτέρων γελῶντας.

περὶ ὄνου, καὶ λεοντῆς.

Φέρων λέοντος δέρμα τοῖς ὅμοις ὄνος,
ηὔχει λέων εἶναί τις, ἀπόλους βλέπων.
ἐπεὶ δὲ γυμνὸς τῆς λεοντῆς εὑρέθη.
τοῦτον μύλων ἔμυκσε διὰ ἀταξίας.

Ἐπιμύθιον, ὁ μῦθος δηλοῖ, ὅτι αἱ παρ᾽ ἀξίαν τιμαὶ, τάχιστα λύονται.

περὶ τράγου, καὶ ἀμπέλου.

Τράγῳ προσεῖπεν ἄμπελος, βλάπτεις σύ με
κείρων τὰ φύλλα, μὴ γὰρ οὐκ ἔστι χλόη;
ὅσον γὰρ ἂν βλάψειας, εὑρήσω τάχα.
πρὸς θυσίαν σὴν, εἰς θεοὺς οἶνον βλύσαι.

Ἐπιμύθιον. ὅτι πολλάκις θέλων τὶς ἀδικεῖν τινα, ὠφελεῖ αὐτόν.

περὶ ἀνδρὸς, καὶ γαλῆς γυναικός.

Ἀνὴρ γαλῆν γυναῖκα πρὸς δόμους ἄγε.
παρῆν δὲ κύπρις εἰς ἑορτὴν τοῦ γάμου.
νύμφη δὲ μῦν βλέψασα, συντόνως τάχει
δίωκε τοῦτον, μὴ τραπεῖσα τὴν φύσιν.

Ἐπιμύθιον. ὅτι τὸ ἐκ φύσεως ὂν, οὐ μεταστρέπεται.

περὶ δορκάδος τῆς τῶν ποδῶν λεπτότητα μεμφομένης.

Πηγαῖς ὁρῶσα δορκὰς αὐτῆς τοιθέαν,
λεπτοὺς πόδας μωμεῖτο, χαῖρε δ᾽ εἰς κέρα.
λέων δ᾽ ἐπεὶ δίωκε, τούτους ἠγάπα.
κέρα καθυβρίζουσα, θήρας ὡς πάγην.

Ἐπιμύθιον. ὅτι πολλάκις τὶς ὠφελεῖται, δι᾽ ὧν δοκεῖ βλάπτεσθαι.

περὶ ἀλώπεκος, καὶ σαφυλῆς.

Κ ερδὼ βότρυν βλέπουσα μακρᾶς ἀμπέλου
πρὸς ὕψος ἧρτο. καὶ καμοῦσα πολλάκις
ἐλθεῖν ἀπεῖπε. πρὸς δ' ἑαυτὴν ταῦτ' ἔφη,
μὴ κάμνε, ῥᾶγες ὀμφακίζουσιν μάλα.

Ἐπιμύθιον πρὸς τοὺς ποιοῦντας τὴν ἀνάγκην φιλοτιμίαν.

περὶ κόρακος, καὶ ἀλώπεκος.

Τ υρὸν κόραξ ἔδακνε. κερδὼ δ' ἠπάτα.
εἰ γλῶσσαν εἶχες, ζηλωτὸς εἶς ὄρνις μέγας.
εὐθὺς δ' ὁ τοῦτον ῥίψεν, ἡ δ' αὐτὸν φαγεῖν.
ἔχεις κόραξ ἅπαντα, νοῦν κτῆσαι μόνον.

Ἐπιμύθιον πρὸς τοὺς ἐπὶ κολακείαις χαίροντας.

περὶ βατράχων, καὶ ἡλίου.

Γ άμοις ἔχαιρον βάτραχοι τοῦ ἡλίου,
καί τις πρὸς αὐτοὺς εἶπεν, ὦ δειλὸν γένος.
εἰ γὰρ μόνας τρέμοιμεν αὐγὰς ἡλίου,
τίς εἴγε τεκνώσειε τοῦτον βασάσει;

Ἐπιμύθιον πρὸς τοὺς ἐπὶ ἰδίᾳ βλάβῃ δι' ἀγνωσίας χαίροντας.

περὶ ὄρνιθος ᾠὸν χρυσοῦν τικτούσης καὶ φιλαργύρου.

Ἔ τικτε χρυσοῦν ᾠὸν ὄρνις εἰσάπαξ,
καί τις πλανηθεὶς χρυσεραστὴς τὴν φρένα,
ἔκτεινε ταύτην χρυσὸν ὡς λαβεῖν θέλων.
ἐλπὶς δὲ μεῖζον δῶρον ὤλεκε τύχης.

Ἐπιμύθιον, πρὸς τοὺς ἐλπίδι κέρδους εἰς ζημίαν ἐκ μικροψυχίας ἐμπίπτοντας.

περὶ ἀστεροσκόπου, καὶ ὁδοιπόρου.

Α' στροις περισκοπῶν τις ἀστεροσκόπος,
ἔπιπτε λεληθὼς πρὸς φρέαρ, τυχὼν δέ τις
ὁδοιπόρος, στένοντι ταῦτ' ἔφη λέγων,

νοῦ θεὶς ἄνω, βέλτιστε τὴν γῆν οὐ βλέπεις.
Ἐπιμύθιον, ὅτι πολλοὶ τὰ ἐνεστῶτα μὴ γινώσκοντες,
τὰ μέλλοντα καυχῶνται γινώσκειν.

περὶ ἵππου, καὶ κάπρου.

Ἤριζεν ἵππος ἀγριωτάτῳ κάπρῳ.
ὁρμὴν δὲ θηρὸς ἵππος οὐ σθένων ὅλως,
ἑαυτὸν ἐκδέδωκεν, εὑρὼν σύμμαχον
εὔπειρον ἄνδρα πρὸς σφαγὴν τοῦ θηρίου.
Ἐπιμύθιον, ὅτι δι' ἔχθραν τινὲς, καὶ εἰς δουλείαν
ἑαυτοὺς ἐμβάλλουσιν.

περὶ ἀνδρὸς μιξόθρικος, καὶ δυεῖν ἑταίραιν.

Ἐρωμένας δύ', εἶχεν ἀνὴρ μιξόθριξ.
χρόνῳ δ' ἐνίσω χῦαι πάντῃ καὶ ξόσῳ,
ἡ μὲν μελαίνας, ἡ δὲ λευκὰς ἐκφέρειν.
ἐξ ὧν ψιλωθεὶς, πᾶσιν ὠράθη γέλως.
Ἐπιμύθιον, πρὸς τοὺς εἰς δύο ἐναντία πράγματα
ἑαυτοὺς ἐμβάλλοντας.

περὶ ἀετοῦ, καὶ κολοιοῦ.

Ἄρνειὸν καταπτὰς ἀετὸς καθαρπάσας.
ἰδὼν κολοιὸς, ἐν κριῷ πράττει τάδε.
ὃν εἷλε ποιμὴν, παῖς δ' ἐφώνει τοῦτό τι
ἐμοὶ κολοιὸς, ἀετὸς δ' αὐτῷ θέλει.
Ἐπιμύθιον, ὅτι οὐδὲ μιμεῖσθαι τοὺς κρείττονας.

περὶ κολοιοῦ τε, καὶ ἄλλων ὀρνέων.

Ἀλλοτρίοις πτεροῖσιν ἠμφιεσμένος
ηὔχει κολοιὸς ὀρνέων ὑπερφέρειν.
πρῶτον δὲ δῶρον ἡ χελιδὼν ἥρπακε.
μεθ' ἣν ἅπαντες. εἶτα γυμνὸς εὑρέθη.
Ἐπιμύθιον, ὅτι τὸ ἐξ ἐράνου κάλλος διαλύεται.

Περὶ ἀετοῦ τε, καὶ οἴστου.

Βέλει τὸ στῆθος ἀετὸς τρώθη πάλαι.
ἀλγῶν δὲ λοιπὸν ἦσο πολλὰ δακρύων.
βλέπων δ' οἴστον εἶπεν ἐπτερωμένον.
βαβαὶ, πτερόν με τὸν πτερωτὸν ὤλλυε.

Ἐπιμύθιον, πρὸς τοὺς ἐκ τῶν ἰδίων κακῶς πάσχοντας.

Περὶ θηρῶν, καὶ ὀρνέων μάχης, καὶ στρουθοῦ.

Πᾶσι πεφύκει θηρσὶ, καὶ πτηνοῖς μάχη.
ἦλω λίβυσσα στρουθὸς, ἣ τοὺς δ' ἐπλάνα.
εἶναι μὲν ὄρνις, ἐκ μέρους δὲ θηρίον.
πτηνοῖς κάραν δείκνυσα, τοῖς θηρσὶ πόδας.

Ἐπιμύθιον, πρὸς τοὺς δυσὶ κυρίοις δουλεύοντας, καὶ πλανῶντας ἀμφοτέρους.

Περὶ χελιδόνος, καὶ κριτηρίου.

Ἦξε χελιδὼν, νοσσιὰν κριτηρίου.
ὕπερθεν, ὥσπερ τὴν γονὴν βλάπτει δράκων.
ἣ δ' αὐτὸ ἔφησεν, ὦ πολυστόνου τύχης,
ὅπου γὰρ ἐκδίκησις ἐβλάβην μόνη.

Ἐπιμύ. πρὸς τοὺς παθόντας κακὸν, ἀπὸ καλῶν ἀνθρώπων.

Περὶ τριῶν βοῶν ὁμοφρόνων, εἶτα ἀσυμφώνων. καὶ λέοντος.

Ὁμόφρονες νέμοντο τρεῖς ὁμοῦ βόες.
οὓς οὐ δὲ θὴρ ἔβλαπτε πολλάκις λέων.
ἔχθρας δὲ μίσει, καὶ μάχης διαχίσας,
ἕκαστον ἐκβέβρωκε γυμνὸν ὡς ἕνα.

Ἐπιμύθιον, πρὸς τοὺς χιζομένους ἐκ τῶν ἰδίων καὶ διὰ τοῦτο κακῶς πάσχοντας.

Περὶ γεωργοῦ, καὶ γεράνου.

Ἔθει γεράνων πῆξέ τις σπορεὺς πάγην.
μεθ' ὧν πελαργὸν εἷλεν, ὃς θρήνει μέγα,

ἔφη

ἔφη δ᾽ ἀγροτεὺς ὡς φίλος μὲν εἶ σύ μοι.
ἀλλ᾽ ἡ πάγη λαβοῦσα, σὼν κακοῖς ἔχει.

Ἐπιμύθιον, πρὸς φίλον τινὸς, ἐνούμενον τοῖς ἐχθροῖς τοῦ φίλου αὐτοῦ.

Περὶ κυνὸς καὶ εἰδώλου αὐτοῦ ἐν τῷ ὕδατι.

Φέρων ποταμοῦ πλησίον κύων κρέας,
κύψας ἑαυτὸν, ἄλλον εἰς ὕδωρ βλέπει.
χανὼν δὲ λοιπὸν τοῦ κάτω λαβεῖν κρέας,
ἀπεστερεῖτο καὶ τοῦ, οὗπερ ἐκράτει.

Ἐπιμύθιον, ὅτι ὁ πλεονεκτῶν μᾶλλον ζημιοῦται.

Περὶ ὄνου καὶ ἁλὸς, καὶ σπόγγων.

Περῶν ποταμὸν, φόρτον ἦγ᾽ ἁλὸς ὄνος,
ἐν ᾧ τε καὶ πέπτωκε κουφισθεὶς βάρος,
σπόγγων δ᾽ ἔπειτα πλῆθος οὕτως ὡς φέρειν,
πεσὼν ἑκοντὶ, δυστυχῶς ἀπεπνίγη.

Ἐπιμύθιον, ὅτι πολλάκις προσδοκία κέρδους, εἰς ζημίαν καταντᾷ.

Περὶ καμήλου, καὶ Διός.

Κυρτὴ θεὸν κάμηλος ᾔτει κέρα.
ἣν ἐξεμυκτήρισε τῆς ἀβουλίας.
ζημοῖ γὰρ αὐτὴν λοιπὸν, ὦτα, καὶ κάραν,
ὡς ἄν γε παντάπασιν αἰσχίστη πέλῃ.

Ἐπιμύθιον ὅτι δεῖ περὶ τοῦ θεοῦ, αἰτεῖν τὰ προσήκοντα.

Περὶ λύκου, καὶ ἀρνός.

Λύκος πρὸς ἄρνα φησὶν, οὐ πρόσθεν σύ μοι
ὕδωρ τάραττες; ἄρτι γαστρὸς ἐξέφυν.
καὶ πῶς ὕδωρ τάραττον ἀγνοῶ, πότε.
θοίνη γοῦν μοι κἂν θέμις, κἂν μὴ θέμις.

Ἐπιμύθιον, πρὸς τοὺς ἀδεῶς, φανερῶς ἀδικοῦντας.

Περὶ δειλοῦ κυνηγοῦ, καὶ ποιμένος.

Δειλὸς κυνηγὸς πρός τιν' εἶπε ποιμένα.
εἰποῦ λέοντος ἴχνος εἶδες, μοὶ φράσον.
σὺ τοῦτον εἶπεν ἐθέλεις, δείξω, πέλας
ἴχνος. κυνηγὸς εἶπεν, οὐ ζητῶ πλέον.

Ἐπιμύθιον, πρὸς ἀνθρώπους θρασεῖς πρὸς λόγους, καὶ πρὸς ἔργα δειλούς.

Περὶ ἱππότου, καὶ ἀγροίκου.

Ἤτοι λαβεῖν ἀγροῖκον λαγὼν ἱππότης.
λαβὼν δὲ χερσὶ τοῦτον, ἠρώτα πόσου;
καὶ πῶλον ἤλαυνεν, ἀγροῖκος δ' ἔφη.
μὴ σπεῦδε, σοὶ δώρημα τοῦτο προσφέρω.

Ἐπιμύθιον, πρὸς τοὺς δι' ἀνάγκης, προϊεμένους τὰ ἴδια

Περὶ λύκου, καὶ ὄνου.

Ὀδοῦσιν ἧλον εἷλεν ἐξ ὄνου λύκος.
αὐτῶν δὲ μισθὸν πλήττεται λὰξ τὴν γένυν.
λύκος δέ φησι πῶς μάγειρος ὢν πάλαι,
ἰατρικῆς μετῆλθον ἔργ' ἀναξίως;

Ἐπιμύθιον, πρὸς τοὺς τὴν ἰδίαν τέχνην καταλιμπάνοντας, καὶ ἑτέραν μετερχομένους ἐπὶ βλάβῃ.

Περὶ λύκου, καὶ γεράνου.

Εἰς λαιμὸν ὀστοῦν ἐμπεπήγη τοῦ λύκου.
μισθῷ δ' ἑλὼν γέρανος, ἤτοι τὴν χάριν,
σῶον τράχηλον ἐκ λύκου λαιμοῦ φέρων,
μὴ δ' ἄλλο μηδὲν μισθὸν, ἢ τοῦτο σκόπει.

Ἐπιμύθιον, πρὸς τοὺς ἐπικίνδυνον πρᾶξιν ἐγχειρήσαντας, καὶ μετὰ τὸ σώθημα ζητοῦντας μισθόν.

Περὶ ταύρου, καὶ τράγου.

Ἤλαυνε ταῦρον ἐξ ἧς κοίτης τράγος,

ὃν

ὃν θὴρ λέων δίωκεν, εἶπε δὲ ξένων,
εἴπερ με μὴ λέοντος ἐπτόει φόβος,
ἔγνως ὅσον ταύρου τε καὶ τράγου σθένος.

Ε' πιμύθιον, πρὸς τοὺς καταδεχομένους ὑβρίζεσθαι ὑπὸ μικρῶν, διὰ φόβον ἑτέρων μειζόνων.

περὶ μύρμηκος, καὶ τέττιγος.

Η' τῇ στοφῇ μύρμηκα τέττιξ ἐν κρύει.
μύρμηξ δ' ἔφησε, τί θέρους ὄντος ἔδρας;
ὡς ἐν θέρει εἴρηκεν ᾖδον ἡδέως.
χειμῶνος ὀρχοῦ φησί, μὴ στροφῆς ἔρα.

Ε' πιμύθιον, πρὸς τοὺς μὴ θέλοντας ἐν νεότητι κοπιᾶν, καὶ διὰ τοῦτο ἐν τῷ γήρᾳ πτωχοῦντας.

περὶ ὄφεως, καὶ γεωργοῦ.

Ε' θαλπέ τις γεωργὸς ἐν κόλποις ὄφιν,
ὥρᾳ κρύους. ἐπεὶ δὲ θέρμης ᾔσθετο,
ἔπληξε τὸν θάλψαντα, κἄκτεινε τάχος.
οὕτω κακοὶ ποιοῦσι τοὺς εὐεργέτας.

περὶ χελιδόνος, καὶ ἀηδόνος.

Α' γροῦ χελιδὼν μακρὰν ἐξεπωτήθη,
εὗρε δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν' ὀξύφωνον. ἣδ' ἀπεθρήνει
τὸν Ἴτυν, ἄωρον ἐκπεσόντα τῆς ὥρης.
χ' ἡ μὲν χελιδών φησι φιλτάτη ζώοις,
πρῶτον βλέπω σε σήμερον μετὰ Θράκην.
ἀλλ' ἐλθ' ἐς ἀγρόν, καὶ πρὸς οἶκον ἀνθρώπων.
σύσκηνος ἡμῖν, καὶ φίλη κατοικήσεις,
ὅπου γεωργοῖς, κοὐχὶ θηρίοις ᾄσεις,
τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη,
ἔα με πέτραις ἐμμένειν ἀοικήτοις.

οἶκος δέ μοι πᾶς, ἥτε μίξις ἀνθρώπων.
μνήμην παλαιῶν συμφορῶν ἀναφλέξει.
Ἐπιμύθιον, ὁ μῦθος δηλοῖ, ὅτι κρεῖττον ἐν ἐρήμοις
ζῆν ἀλύπως, ἢ συνοικεῖν ἐν πόλεσι τοῖς κακοῖς.

ΤΩΝ ΓΑΒΡΙ
ΟΥ
ΜΥΘΩΝ
Τ Έ/
Λ
Ο Σ.

ΕΚΘΕΣΙΣ ΚΕΦΑΛΑΙΩΝ ΠΑΡΑΙΝΕΤΙΚΩΝ, ΣΧΕΔΙΑΣΘΕΙΣΑ ΠΑΡΑ ΑΓΑΠΗΤΟΥ, ΔΙΑΚΟΝΟΥ, ΤΗΣ ΑΓΙΩΤΑΤΗΣ ΤΟΥ ΘΕΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ.

ΩΝ Η ΑΚΡΟΣΤΙΧΙΣ, ΩΔΕ ΠΩΣ ΕΧΕΙ.

Τῷ θειοτάτῳ, καὶ εὐσεβεστάτῳ βασιλεῖ ἡμῶν Ἰουστινιανῷ, Ἀγαπητὸς ὁ ἐλάχιστος διάκονος.



Τιμῆς ἁπάσης ὑπέρτερον ἔχων 1
ἀξίωμα βασιλεῦ, τιμᾷς ὑπὲρ
ἅπαντας τὸν τοῦτο σε ἀξιώσαν-
τα θεόν. ὅτι καὶ καθ' ὁμοίωσιν τῆς
ἐπουρανίου βασιλείας ἔδωκέ σοι
τὸ σκῆπτρον τῆς ἐπιγείου δυνα-
στείας, ἵνα τοὺς ἀνθρώπους διδάξῃς
τὴν τοῦ δικαίου φυλακήν, καὶ τῶν κατ' αὐτοῦ λυσσώντων
ἐκδιώξῃς τὴν ὑλακήν, ὑπὸ τῶν αὐτοῦ βασιλευόμενος
νόμων, καὶ τῶν ὑπὸ σὲ βασιλεύων ἐννόμως.

Ὡς κυβερνήτης ἀγρυπνεῖ διαπαντὸς, ὁ τοῦ βασιλέ- 2
ως πολυόμματος νοῦς, διακατέχων ἀσφαλῶς τῆς εὐ-
νομίας τοὺς οἴακας, καὶ ἀπωθούμενος ἰσχυρῶς, τῆς ἀνο-
μίας τοὺς ῥύακας, ἵνα τὸ σκάφος τῆς παγκοσμίου πο-
λιτείας, μὴ περιπίπτῃ κύμασιν ἀδικίας.

Θεῖον μάθημα καὶ πρῶτον οἱ ἄνθρωποι, τὸ γνῶναί 3
τινα ἑαυτὸν διδασκόμεθα. ὁ γὰρ ἑαυτὸν γνούς, γνώ-

σεται

σεται θεόμ. θεὸμ δὲ ὁ γνοὺς, ὁμοιωθήσεται θεῷ. ὁμοιωθήσεται δὲ θεῷ, ὁ ἄξιος γενόμενος θεοῦ. ἄξιος δὲ γίνεται θεοῦ, ὁ μηδὲμ ἀνάξιομ πράττωμ θεοῦ, ἀλλὰ φρονῶμ μὲν τὰ αὐτοῦ, λαλῶμ δὲ ἃ φρονεῖ, ποιῶμ δὲ ἃ λαλεῖ.

Ἐπὶ προγόνωμ εὐγενείᾳ, μηδεὶς ἐναβρυνέσθω. πηλὸμ γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα. καὶ οἱ ἐν πορφύρᾳ καὶ βύσσῳ καυχώμενοι. καὶ οἱ ἐν πενίᾳ καὶ νόσῳ τρυχόμενοι. καὶ οἱ διαδήματα περικείμενοι, καὶ οἱ διὰ δώματα προσκείμενοι. μὴ τοίνυν εἰς πήλιομ ἐγκαυχώμεθα γένει, ἀλλ' ἐπὶ χρηστότητι σεμνυνώμεθα τρόπωμ.

4 Ἴσθι ὦ εὐσεβείας θεότευκτομ ἄγαλμα, ὅτι ὅσῳ μεγάλωμ ἠξιώθης παρὰ θεοῦ δωρεῶμ, τοσούτῳ μείζονος ἀμοιβῆς ὀφειλέτης ὑπάρχεις αὐτῷ, οὐκοῦν ἀπόδος τῷ εὐεργέτῃ τὸ χρέος διὰ εὐχαριστίας, τῷ λαμβάνοντι τὸ χρέος ὡς χάριμ, καὶ διὰ χάριτος χάριμ ἀντιδιδόντι. αὐτὸς γὰρ ἀεὶ καὶ χαρίτωμ ἄρχει, καὶ ὡς χρέος τὰς χάριτας ἀποδίδωσιμ. εὐχαριστίαμ δὲ ζητεῖ παρ' ἡμῶμ, οὐ τὴν διὰ ῥημάτωμ ἀγαθῶμ προφοράμ, ἀλλὰ τὴν διὰ πραγμάτωμ εὐσεβῶμ προσφοράμ.

5 Οὐδὲμ οὕτως εὐδόκιμομ ἐργάζεται ἄνθρωπομ, ὡς δύνασθαι μὲν ἃ βούλεται πράττειμ, ἀεὶ δὲ φιλάνθρωπα καὶ βούλεσθαι καὶ πράττειμ. ἐπειδὴ τοίνυν ἐκ θεοῦ σοι κεχάρισται δύναμις, ἧς ἐδεῖτο δι' ἡμᾶς ἀγαθή σου βούλησις, πάντα καὶ βούλου, καὶ πράττε, ὡς ἀρέσκει τῷ ταύτημ σοι δεδωκότι.

6 Τῶμ ἐπιγείωμ χρημάτωμ ὁ ἄστατος πλοῦτος, τῶν ποταμίωμ ῥευμάτωμ μιμεῖται τὸμ δρόμομ. πρὸς ὀλίγομ μὲν ἐπιρρέωμ τοῖς ἔχειμ νομίζουσι. μετ' ὀλίγομ

δὲ παρα

δὲ πραγμάτων, εἰς ἄλλους ἀπέρχεται. μόνος δὲ τῆς εὐποιΐας
ὁ θησαυρὸς, μόνιμός ἐστι τοῖς κεκτημένοις αὐτόν. τῶν
γὰρ ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς ποιοῦντας
ἐπαναστρέφουσιν.

Ἀπρόσιτος μὲν ὑπάρχεις ἀνθρώποις, διὰ τὸ ὕψος 8
τῆς κάτω βασιλείας. εὐπρόσιτος δὲ γίνῃ τοῖς δεομέ-
νοις, διὰ τὸ κράτος τῆς ἄνω ἐξουσίας, καὶ ἀνοίγεις τὰ
ὦτα, τοῖς ὑπὸ πενίας πολιορκουμένοις, ἵνα εὕρῃς τὴν
τοῦ θεοῦ ἀκοὴν ἀνεῳγμένην. οἷοι γὰρ ἂν τοῖς ἡμετέροις
γενώμεθα συνδούλοις, τοιοῦτον περὶ ἡμᾶς εὑρήσομεν
τὸν δεσπότην.

Τὴν πολυμέριμνον τοῦ βασιλέως ψυχὴν, κατόπτρου 9
δίκην ἀποσμήχεσθαι χρὴ, ἵνα ταῖς θείαις αὐγαῖς ἀεὶ
καταστράπτηται, καὶ τῶν πραγμάτων τὰς κρίσεις ἐκεῖ-
θεν διδάσκηται. οὐδὲν γὰρ οὕτω ποιεῖ τὰ δέοντα καθ-
ορᾶν, ὡς τὸ φυλάσσειν ἐκείνην διαπαντὸς καθαράν.

Ὥσπερ ἐπὶ τῶν πλεόντων, ὅταν μὲν ὁ ναύτης σφα- 10
λῇ, μικρὰν φέρει τοῖς συμπλέουσι βλάβην. ὅταν δὲ αὐ-
τὸς ὁ κυβερνήτης, παντὸς ἐργάζεται τοῦ πλοίου ἀπώ-
λειαν. οὕτω καὶ ἐν ταῖς πόλεσιν, ἂν μέν τις τῶν ἀρχομέ-
νων ἁμάρτῃ, οὐ τὸ κοινὸν τοσοῦτον ὅσον ἑαυτὸν ἀδι-
κεῖ. ἂν δὲ αὐτὸς ὁ ἄρχων, πάσης ἐργάζεται τῆς πο-
λιτείας τὴν βλάβην. ὡς οὖν μεγάλας ὑφέξων εὐθύ-
νας, εἴ τι παρίδοι τῶν δεόντων, μετὰ πολλῆς ἀκρι-
βείας καὶ λεγέτω πάντα, καὶ πραττέτω.

Κύκλος, τις τῶν ἀνθρωπίνων περιτρέχει πραγμά- 11
των, ἄλλοτε ἄλλως φέρων αὐτὰ, καὶ περιφέρων. καὶ
τούτοις ἀνισότης ἐστὶ, τὸ μηδὲν τῶν παρόντων ἐν ταυτό-
τητι μένειν. δεῖ οὖν σε κράτιστε βασιλεῦ ἐν τῇ τούτων
ἀγχιστρόφῳ

ἀγχιστρόφῳ μεταβολῇ, ἀμετάβλητον ἔχειν τὸν εὐσεβῆ λογισμόν.

12 Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους, ὡς τῶν κοράκων τοὺς ἁρπακτικοὺς τρόπους. οἱ μὲν γὰρ τοὺς τοῦ σώματος ἐξορύττουσιν ὀφθαλμούς. οἱ δὲ, τοὺς τῆς ψυχῆς ἐξαμβλύνουσι λογισμοὺς, μὴ συγχωροῦντες ὁρᾶν τὴν τῶν πραγμάτων ἀλήθειαν. ἢ γὰρ ἐπαινοῦσιν ἔσθ᾽ ὅτε τὰ ψόγου ἄξια, ἢ ψέγουσι πολλάκις, τὰ ἐπαίνων κρείττονα, ἵνα δυοῖν θάτερον αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐπαινούμενον, ἢ τὸ καλὸν ὑβριζόμενον.

13 Ἴσον εἶναι χρὴ πάντοτε τοῦ βασιλέως τὸ φρόνημα. τὸ γὰρ συμμεταβάλλεσθαι ταῖς τῶν πραγμάτων μεταβολαῖς, διανοίας ἀβεβαίου τεκμήριον γίνεται. τὸ δὲ παγίως ἐν τοῖς καλοῖς ἐρηρεῖσθαι, ὡς τὸ εὐσεβὲς ἡμῶν ἐστήρικται κράτος, καὶ μήτε πρὸς ἀλαζονείαν ὑπεραίρεσθαι, μήτε πρὸς ἀθυμίαν καταφέρεσθαι, βεβηκότων ἐστὶν ἀσφαλῶς, καὶ ἀκράδαντον ἐχόντων τὴν ψυχήν.

14 Εἴτις κεκαθαρμένον ἔχει τὸν λογισμὸν ἐκ τῆς ἀνθρωπίνης ἀπάτης, καὶ βλέπει τὸ οὐτιδανὸν τῆς ἑαυτοῦ φύσεως, τό, τε βραχὺ καὶ ὠκύμορον τῆς ἐνταῦθα ζωῆς, καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ ῥύπον, εἰς τὸν τῆς ὑπερηφανίας οὐκ ἐμπεσεῖται κρημνόν, κἂν ἐν ἀξιώματι ὑπάρχῃ ὑψηλῷ.

15 Ὑπὲρ πάντα τῆς βασιλείας τὰ ἔνδοξα, τῆς εὐσεβείας τὸ στέμμα τὸν βασιλέα κοσμεῖ. ὁ μὲν πλοῦτος ἀπέρχεται, καὶ ἡ δόξα μετέρχεται. τὸ δὲ κλέος τῆς ἐνθέου πολιτείας, ἀθανάτοις αἰῶσι συμπαρεκτείνεται, καὶ λήθης ἐπέκεινα

ἐπέκεινα, τοὺς ἔχοντας ἴσησι. 16

Σφόδρα μοι δοκεῖ ἀτοπώτατον εἶναι ὅτι πλούσιοι καὶ πένητες ἄνθρωποι, ἐξ ἀνομοίων πραγμάτων βλάβην πάσχουσιν ὁμοίαν. οἱ μὲν γὰρ, ὑπὸ τοῦ κόρου διαρρήγνυνται. οἱ δὲ, ὑπὸ τοῦ λιμοῦ διαφθείρονται. καὶ οἱ μὲν, κατέχουσι τοῦ κόσμου τὰ πέρατα. οἱ δὲ, οὐκ ἔχουσι ποῦ στῆσαι τὰ πέλματα. ἵνα τοίνυν ἄμφω τῆς ὑγείας τύχωσιν, ἀφαιρέσει καὶ προσθέσει τούτους θεραπευτέον. καὶ πρὸς ἰσότητα, τὴν ἀνισότητα μετενεκτέον.

Ἐφ' ὑμῖν ἀνεδείχθη τῆς εὐζωΐας ὁ χρόνος, ὃν προεῖπέ τις τῶν παλαιῶν ἔσεσθαι, ὅταν ἢ φιλόσοφοι βασιλεύσωσιν, ἢ βασιλεῖς φιλοσοφήσωσι. καὶ γὰρ φιλοσοφοῦντες, ἠξιώθητε βασιλείας. καὶ βασιλεύσαντες, οὐκ ἀπέστητε φιλοσοφίας. εἰ γὰρ τὸ φιλεῖν σοφίαν ποιεῖ φιλοσοφίαν, ἀρχὴ δὲ σοφίας ὁ τοῦ θεοῦ φόβος, ὃν ἐν τοῖς στέρνοις ὑμῶν διαπαντὸς ἔχετε, εὔδηλον ὡς ἀληθὲς τὸ παρ' ἐμοῦ λεγόμενον. 17

Βασιλέα σε κατὰ ἀλήθειαν ὁρίζομαι, ὡς βασιλεύειν καὶ κρατεῖν τῶν ἡδονῶν δυνάμενον. καὶ τὸν στέφανον τῆς σωφροσύνης ἀναδησάμενον, καὶ τὴν πορφύραν τῆς δικαιοσύνης ἀμφιασάμενον. ἡ μὲν γὰρ ἄλλη ἐξουσία, τὸν θάνατον ἔχει διαδοχήν. ἡ δὲ τοιαύτη βασιλεία, τὴν ἀθανασίαν σώζει διαμονήν. καὶ ἡ μὲν, ἐν τῷ αἰῶνι τούτῳ λύεται. ἡ δὲ τῆς αἰωνίου κολάσεως ῥύεται. 18

Εἰ τὴν ἐκ πάντων βούλει καρποῦσθαι τιμὴν, γίνου τοῖς ἅπασιν εὐεργέτης κοινός. οὐδὲν γὰρ οὕτω πρὸς εὔνοιαν ἐφέλκεται, ὡς εὐποιΐας χάρις διδομένη τοῖς χρήζουσιν. ἡ γὰρ διὰ φόβον γινομένη θεραπεία, κα- 19

τεχνηματισμένη ἐστὶ θωπεία, πεπλασμένης τιμῆς ὀνόματι φενακίζουσα, τοὺς αὐτῇ προσανέχοντας.

20 Σεπτὴ δικαίως ἐστὶν ἡ ὑμῶν βασιλεία, ὅτι τοῖς πολεμίοις μὲν δεικνύει τὴν ἐξουσίαν, τοῖς ὑπηκόοις δὲ νέμει φιλανθρωπίαν. καὶ νικῶσα ἐκείνους τῇ δυνάμει τῶν ὅπλων, τῇ ἀόπλῳ ἀγάπῃ τῶν οἰκείων ἡττᾶται. ὅσον γὰρ θηρίου καὶ προβάτου τὸ μέσον, τοσοῦτον ἀμφοτέρων ἡγεῖται τὸ διάφορον.

21 Τῇ μὲν οὐσίᾳ τοῦ σώματος, ἴσος παντὶ ἀνθρώπῳ ὁ βασιλεύς. τῇ ἐξουσίᾳ δὲ τοῦ ἀξιώματος, ὅμοιός ἐστι τῷ ἐπὶ πάντων θεῷ. οὐκ ἔχει γὰρ ἐπὶ γῆς τὸν αὐτοῦ ὑψηλότερον. χρὴ τοίνυν αὐτὸν καὶ ὡς θεὸν μὴ ὀργίζεσθαι, καὶ ὡς θνητὸν μὴ ἐπαίρεσθαι. εἰ γὰρ καὶ εἰκόνι θεϊκῇ τετίμηται, ἀλλὰ καὶ κόνει χοϊκῇ συμπέπλεκται, δι' ἧς ἐκδιδάσκεται τὴν πρὸς πάντας ἰσότητα.

22 Ἀποδέχου τοὺς τὰ χρηστὰ συμβουλεύειν θέλοντας, ἀλλὰ μὴ τοὺς κολακεύειν ἑκάστοτε σπεύδοντας. οἱ μὲν γὰρ τὸ συμφέρον συνορῶσιν ἐν ἀληθείᾳ. οἱ δὲ, πρὸς τὰ δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι, καὶ τῶν σωμάτων τὰς σκιὰς μιμούμενοι, τοῖς παρ' αὐτῶν λεγομένοις συνάδουσι.

23 Τοιοῦτος γίνου περὶ τοὺς σοὺς οἰκέτας, οἷον εὔχῃ σοὶ τὸν δεσπότην γενέσθαι. ὡς γὰρ ἀκούομεν ἀκουσθησόμεθα, καὶ ὡς ὁρῶμεν ὁραθησόμεθα, ὑπὸ τοῦ θείου καὶ παντεφόρου βλέμματος. προεισενέγκωμεν οὖν τῷ ἐλεῶ τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν.

24 Ὥσπερ τὰ ἀκριβῆ τῶν κατόπτρων τοιαύτας δείκνυσι τὰς τῶν προσώπων ἐμφάσεις, οἷά περ ἐστὶ τὰ πρωτότυπα

τότυπα, φαιδρὰ μὲν τῶν φαιδρωνομένων, σκυθρωπὰ δὲ τῶν σκυθρωπαζόντων, οὕτω καὶ ἡ δικαία τοῦ θεοῦ κρίσις, ταῖς ἡμετέραις πράξεσιν ἐξομοιοῦται. οἷά περ γὰρ ἂν ᾖ τὰ παρ' ἡμῶν εἰργασμένα, τοιαῦτα ἡμῖν ἐκ τῶν ὁμοίων παρέχει.

Βουλεύου μὲν τὰ πρακτέα βραδέως. ἐκτέλει δὲ τὰ κριθέντα σπουδαίως. ἐπεὶ λίαν ἐστὶ σφαλερὸν, τὸ ἐν τοῖς πράγμασιν ἀπρόσκεπτον. εἰ γὰρ τὰ ἐξ ἀβουλίας τις ἐννοήσει κακὰ, τότε γνώσεται καλῶς τῆς εὐβουλίας τὰ χρήσιμα. ὡς καὶ τῆς ὑγείας τὴν χάριν, μετὰ τὴν πεῖραν τῆς νόσου. δεῖ τοίνυν εὐφρονέστατε βασιλεῦ, καὶ βουλῇ συνετωτέρᾳ, καὶ εὐχῇ συντονωτέρᾳ, ἐξερευνᾶν ἀκριβῶς τὰ συνοίσοντα τῷ κόσμῳ. 25

Ἄριστα διοικήσεις τὴν ἀγαθὴν σου βασιλείαν, εἰ πάντα σπουδάζεις ἐφορᾶν, καὶ μηδὲν ἀνέχῃ παρορᾶν. οὐ γὰρ μικρὸν ἐπὶ σοί, ὅ περ μικρὸν εἶναι δοκεῖ ἐν συγκρίσει τῶν σῶν. ἐπειδὴ καὶ ῥῆμα βασιλέως ψιλὸν, μεγάλην ἔχει παρὰ πᾶσιν ἰσχύν. 2

Σαυτῷ τὴν τοῦ φυλάττειν τοὺς νόμους ἐπίθες ἀνάγκην, ὡς μὴ ἔχων ἐπὶ γῆς τὸν δυνάμενον ἀναγκάζειν. οὕτω γὰρ καὶ τῶν νόμων ἐπιδείξεις τὸ σέβας, αὐτὸς πρὸ τῶν ἄλλων τούτους αἰδούμενος, καὶ τοῖς ὑπηκόοις φανήσεται τὸ παρανομεῖν οὐκ ἀκίνδυνον. 27

Ἴσον τῷ πλημμελεῖν, τὸ μὴ κωλύειν τοὺς πλημμελοῦντας λογίζου. κἂν γάρ τις πολιτεύηται μὲν ἐνθέσμως, ἀνέχηται δὲ τῶν βιούντων ἀθέσμως, συνεργὸς τῶν κακῶν παρὰ θεῷ κρίνεται. εἰ δὲ βούλει διπλῶς εὐδοκιμεῖν, καὶ τοὺς τὰ κάλλιστα ποιοῦντας προτί- 28

μα, καὶ τοῖς τὰ χείριστα δρῶσιν ἐπιτίμα.

29 Λίαν συμφέρειν ὑπολαμβάνω, τὸ φεύγειν τὰς τῶν κακῶν συνδιαιτήσεις. τὸν γὰρ συνόντα πάντοτε ἀνθρώποις πονηροῖς, ἢ παθεῖν, ἢ μαθεῖν ἀνάγκη τι πονηρόν. ὁ δὲ τοῖς ἀγαθοῖς συνδιάγων, ἢ μίμησιν τῶν καλῶν ἐκδιδάσκεται, ἢ μείωσιν τῶν κακῶν ἐκπαιδεύεται.

30 Ἐγκόσμιον ὑπὸ θεοῦ πιστευθεὶς βασιλείαν, μηδενὶ χρῶ τῶν πονηρῶν, πρὸς τὰς τῶν πραγμάτων διοικήσεις. ὧν γὰρ ἂν ἐκεῖνοι κακῶς διαπράξωνται, λόγον ὑφέξει θεῷ, ὁ τὴν ἰσχὺν αὐτοῖς δεδωκώς. μετὰ πολλῆς οὖν ἐξετάσεως, αἱ τῶν ἀρχόντων προβολαὶ γινέσθωσαν.

31 Ἴσον νομίζω κακὸν, καὶ τὸ ἐχθρῶν θυμοῦσθαι ταῖς κακουργίαις, καὶ τῶν φίλων θέλγεσθαι ταῖς κολακείαις. δεῖ γὰρ πρὸς ἑκατέρους γενναίως ἀνθίστασθαι, καὶ τοῦ πρέποντος μηδαμῶς ἀφίστασθαι. μήτε τὴν ἀλόγιστον ἐκείνων δυσμένειαν ἀμυνόμενον, μήτε τὴν ἐπίπλαστον τούτων εὔνοιαν ἀμειβόμενον.

32 Ἡγοῦ τούτους εἶναι φίλους ἀληθεστάτους, μὴ τοὺς ἐπαινοῦντας ἅπαντα τὰ παρὰ σοῦ λεγόμενα, ἀλλὰ τοὺς κρίσει δίκαια πάντα πράττειν σπουδάζοντας, καὶ συνηδομένους μὲν ἐπὶ τοῖς χρηστοτέροις, ἐπισυγνάζοντας δὲ ἐπὶ τοῖς ἐναντίοις. οὗτοι γὰρ ὄντως ἀψευδεστάτης φιλίας δεικνύουσι τεκμήριον.

33 Μὴ μεταβαλέτω σοι τὴν μεγαλόφρονα γνώμην τῆς ἐπιγείου ταύτης δυναστείας ὁ ὄγκος, ἀλλ᾽ ὡς ἐπίκηρον διέπων ἀρχὴν, ἄτρεπτον ἔχε τὸν νοῦν ἐν πράγμασι τρεπτοῖς. μήτε ἐν ταῖς εὐθυμίαις ἐξυψούμενος, μήτε ἐν ταῖς ἀθυμίαις ταπεινούμενος.

Ὡς τὸ

ὡς ὁ χρυσὸς, ἄλλοτε ἄλλως ὑπὸ τῆς τέχνης μετα-
τυπούμενος, καὶ πρὸς διάφορα κοσμίων εἴδη μετα- 34
ποιούμενος, ὃ μὲν ἐστι διαμένει καὶ τροπὴν οὐχ ὑπο-
μένει, οὕτω καὶ αὐτὸς εὐκλεέστατε βασιλεῦ, ἄλλην δὲ
ἄλλης ἀμείβων ἀρχὴν. φθάσας δὲ καὶ αὐτὴν τὴν ἀνω-
τάτω τιμὴν, ὁ αὐτὸς διαμένεις, οὐκ ἐν τοῖς αὐτοῖς
πράγμασιν, ἀναλλοίωτον ἔχων ἐν τῷ καλῷ τὸ φρό-
νημα.

Νόμιζε τότε βασιλεύειν ἀσφαλῶς, ὅταν ἑκόντων 35
ἀνάσσῃς τῶν ἀνθρώπων. τὸ γὰρ ἀκουσίως ὑποταττόμε-
νον, στασιάζει καιροῦ λαβόμενον. τὸ δὲ τοῖς δεσμοῖς τῆς
εὐνοίας κρατούμενον, βεβαίαν ἔχει πρὸς τὸ κρατοῦν
τὴν εὐπείθειαν.

Ἵνα τὸ κράτος τῆς βασιλείας ποιήσῃς ἀοίδιμον, 36
ὅσην ἔχεις κατὰ τῶν ὑπηκόων ἁμαρτανόντων ὀργὴν,
τοσαύτην ἔχειν καὶ κατὰ σαυτοῦ πλημμελοῦντος ἄξι-
ος. οὐδεὶς γὰρ ἰσχύει τὸν ἐν ἐξουσίᾳ τηλικαύτῃ παι-
δεύειν, εἰ μὴ λογισμὸς οἰκεῖος ἐξ αὐτοῦ τοῦ πλημμε-
λοῦντος κινούμενος.

Ὁ μεγάλης ἐξουσίας ἐπιλαβόμενος, τὸν δοτῆρα 37
τῆς ἐξουσίας μιμείσθω κατὰ δύναμιν. εἰ γάρ πως τὴν εἰ-
κόνα φέρει τοῦ ἐπὶ πάντων θεοῦ, καὶ δι' αὐτοῦ κατέ-
χει τὴν ἐπιπάντων ἀρχὴν, ἐν τούτῳ δὴ μάλιστα τὸν
θεὸν μιμήσεται, ἐν τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προ-
τιμότερον.

Ὑπὲρ χρυσίον καὶ λίθον τίμιον τῆς εὐποιΐας τὸν 38
πλοῦτον, ἑαυτοῖς θησαυρίσωμεν. τὸν καὶ ὧδε κατευ-
φραίνοντα τῇ ἐλπίδι τῆς μελλούσης ἀπολαύσεως, κἀ-
κεῖ καταγλυκαίνοντα τῇ πείρᾳ τῆς ἐλπισθείσης μα-

καριότητος. τὰ δὲ νῦν περὶ ἡμᾶς ὡς οὐδὲν πρὸς ἡμᾶς, μὴ τρεπέτω ἡμᾶς.

39 Σπούδαζε λαμπροτέραις ἀμείβεσθαι δωρεαῖς, τοὺς μετ' εὐνοίας ποιοῦντας τὰ παρὰ σοῦ προσταττόμενα. τούτῳ γὰρ τῷ τρόπῳ, καὶ τῶν ἀγαθῶν ἐπαυξήσεις τὴν προθυμίαν, καὶ τοὺς πονηροὺς διδάξεις μεταμαθεῖν τὴν κακίαν. τὸ γὰρ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς μὴ τὰ αὐτὰ ποιοῦντας, ἄγαν ἐστὶν ἀθέμιτον.

40 Τιμιώτατον πάντων ἐστὶν ἡ βασιλεία. τότε δὲ μάλιστα τοιοῦτόν ἐστιν, ὅταν ὁ τοῦτο περικείμενος τὸ κράτος, μὴ πρὸς αὐθάδειαν ῥέπῃ, ἀλλὰ πρὸς ἐπιείκειαν βλέπῃ. τὸ μὲν ἀπάνθρωπον, ὡς θηριῶδες ἀποστρεφόμενος, τὸ δὲ φιλάνθρωπον, ὡς θεοείκελον ἐνδεικνύμενος.

41 Ἴσως πρός τε φίλους καὶ ἐχθροὺς ποιοῦ τὰς κρίσεις. μήτε τοῖς εὐνοοῦσι χαριζόμενος διὰ τὴν εὔνοιαν, μήτε τοῖς δυσμενέσιν ἀνθιστάμενος δι' ἀπέχθειαν. ἐπειδὴ τῆς αὐτῆς ἐστὶν ἀτοπίας, καὶ δικαιοῦν τὸν ἄδικον εἰ καὶ φίλος ὑπάρχει, καὶ ἀδικεῖν τὸν δίκαιον, εἰ καὶ ἐχθρὸς τυγχάνει. τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται.

42 Νουνεχῶς ἀκροᾶσθαι δεῖ, τοὺς τῶν πραγμάτων κριτάς. δυσθήρατος γάρ ἐστιν ἡ τοῦ δικαίου εὕρεσις, ῥᾳδίως ἐκφεύγουσα τοὺς μὴ λίαν προσέχοντας. ἂν δὲ καὶ τὴν τῶν λεγόντων ἀφέντες δεινότητα, καὶ τὴν τῶν λεγομένων παρέντες πιθανότητα, εἰς τὸ βάθος τῶν νοημάτων ἑαυτοὺς ἐμβάλλωσιν, οὕτως ἀνιμήσονται τὸ παρ' αὐτῶν ζητούμενον, καὶ διπλῆν ἁμαρτίαν ἐκφεύξονται. μήτε αὐτοὶ τὸ καλὸν προδιδόντες, μήτε ἄλλοις τοῦτο

δρᾶν

δρᾶν συγχωροῦντες.

Ἰσάριθμα τοῖς ἄστροις ἂν κτήσῃ τὰ κατορθώματα, οὐδέποτε νικήσεις τὴν τοῦ θεοῦ ἀγαθότητα. ὅσα γὰρ ἄν τις προσενέγκῃ θεῷ ἐκ τῶν αὐτοῦ, τὰ αὐτοῦ προσφέρει αὐτῷ. καὶ ὡς οὐκ ἔστιν ὑπερβῆναι τὴν ἰδίαν ἐν τῷ ἡλίῳ σκιὰν, προλαμβάνουσαν ἀεὶ καὶ τὴν λίαν ἐπειγομένην, οὕτως οὐδὲ τὴν ἀνυπέρβλητον τοῦ θεοῦ χρηστότητα, ταῖς εὐποιΐαις ὑπερβήσονται ἄνθρωποι.

Ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος. ἐν τῷ 44
διδόναι γὰρ λαμβάνεται, καὶ ἐν τῷ σκορπίζειν συνάγεται. τοῦτον ἔχων ἐν τῇ ψυχῇ σου πλουσιόδωρε βασιλεῦ, δίδου πᾶσι δαψιλῶς τοῖς αἰτοῦσι παρὰ σοῦ. ἀπειροπλασίους γὰρ ἕξεις τὰς ὑπὲρ τούτων ἀμοιβὰς ὅταν ἔλθῃ ὁ καιρὸς τῆς τῶν ἔργων ἀντιδόσεως.

Νεύματι θεοῦ τὴν βασιλείαν λαβὼν, μίμησαι αὐ- 45
τὸν δι' ἔργων ἀγαθῶν. ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγγύς, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων. τὸ γὰρ ἕτοιμον τῆς τῶν χρημάτων δαψιλείας, ἀνεμπόδιστόν ἐστι, πρὸς τὰς τῶν πενήτων εὐποιΐας.

Ὥσπερ ὀφθαλμὸς ἐμπέφυκε σώματι, οὕτω βασι- 46
λεὺς τῷ κόσμῳ ἐνήρμοσται, ὑπὸ τοῦ θεοῦ δεδωρημένος εἰς συνεργίαν τῶν συμφερόντων. χρὴ οὖν αὐτὸν, ὡς οἰκείων μελῶν, οὕτω πάντων ἀνθρώπων προνοεῖν, ἵνα προκόπτωσιν ἐν καλοῖς, καὶ μὴ προσκόπτωσιν ἐν κακοῖς.

Ἀσφαλεστάτην ἡγοῦ τῆς σωτηρίας σου φυλακὴν, τὸ 47
μηδέποτε τινὰ τῶν ὑπηκόων ἀδικεῖν. ὁ γάρ τινα μὴ ἀδικῶν, οὐχ ὑφορᾶται τινά. εἰ δὲ τὸ μὴ ἀδικεῖν ἀσφά-

λειαν

λααν προξενεῖ, τὸ εὐεργετεῖν πολλῷ πλέον. τὸ ἀσφαλὲς γὰρ δίδωσι, καὶ τὸ προσφιλὲς οὐ προδίδωσι.

48 Γίνου τοῖς ὑπηκόοις εὐσεβέστατε βασιλεῦ, καὶ φοβερὸς διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας, καὶ ποθεινὸς διὰ τὴν παροχὴν τῆς εὐποιΐας. μήτε τοῦ φόβου καταφρονῶν διὰ τὸν πόθον, μήτε τοῦ πόθου παραμελῶν διὰ τὸν φόβον. ἀλλὰ τὸ ἥμερον ἔχων ἀκαταφρόνητον, καὶ τὸ εὐκαταφρόνητον ἔχων ἀνήμερον.

49 Ἃ τοῖς ὑπηκόοις νομοθετεῖς διὰ τῶν λόγων, ταῦτα προλαβὼν ὑπέδειξας διὰ τῶν ἔργων. ἵνα τοῖς λόγοις οἷς πείθεις, καὶ χρηστὸς συναγωνίζηται βίος. οὕτω γὰρ εὐδόκιμον ἀποφανεῖς σου τὸ κράτος, καὶ λέγων πρακτικῶς, καὶ πράττων λογικῶς.

50 Πλέον ἀγάπα βασιλεῦ γαληνότατε, τοὺς λαμβάνειν παρὰ σοῦ χάριτας ἱκετεύοντας, ἢ περ τοὺς σπουδάζοντας δωρεάς σοι προσφέρειν. τοῖς μὲν γὰρ ὀφειλέτης ἀμοιβῆς καθίστασαι. οἱ δέ σοι, τὸν θεὸν ὀφειλέτην ποιοῦσι τὸν οἰκειούμενον τὰ εἰς αὐτοὺς γινόμενα, καὶ ἀμειβόμενον ἀγαθαῖς ἀντιδόσεσι τὸν φιλόθεον, καὶ φιλάνθρωπόν σου σκοπόν.

51 Ἡλίου μὲν ἔργον ἐστὶ, τὸ καταλάμπειν ταῖς ἀκτῖσι τὴν κτίσιν. ἄνακτος δὲ ἀρετὴ, τὸ ἐλεεῖν τοὺς δεομένους. κἀκείνου δὲ φανότερος, ὁ εὐσεβὴς βασιλεύς. ὁ μὲν γὰρ, ὑποχωρεῖ τῇ διαδοχῇ τῆς νυκτός. ὁ δὲ, οὐ παραχωρεῖ τῇ συναρπαγῇ τῶν κακῶν, ἀλλὰ τῷ φωτὶ τῆς ἀληθείας, ἐξελέγχει τὰ κρυπτὰ τῆς ἀδικίας.

52 Τοὺς μὲν πρὸ σοῦ βασιλεῖς, ἡ ἀρχὴ κατεκόσμησε. σὺ δὲ ταύτην κράτιστε, φαιδροτέραν ἐποίησας, ἡμερό-

τητι

τητι κιρνῶν τῆς ἐξουσίας τὸν ὄγκον, καὶ χρηστότητι νι-
κῶν τῶν προσιόντων σοι τὸν φόβον. ὅθεν ὥσπερ λιμένι
τῆς σῆς γαληνότητος, πάντες προσορμῶσιν οἱ ἐλέους
δεόμενοι, καὶ τῶν κυμάτων τῆς πενίας ἀπαλλαττόμε-
νοι, εὐχαριστηρίους ὕμνους σοι ἀναπέμπουσιν.

Ὅσον τῇ δυναστείᾳ πάντων ὑπερανέχεις, τοσοῦτον 53
καὶ τοῖς ἔργοις ὑπερλάμπειν ἀγωνίζου. ἀναλογοῦσαν
γὰρ τῷ μεγέθει τῆς δυνάμεως τὴν ἐργασίαν τῶν
καλῶν ἀπαιτεῖσθαι προσδόκησον. ἵνα τοίνυν παρὰ θεοῦ
ἀνακηρυχθῇς, μετὰ τοῦ στεφάνου τῆς ἀκηλίτου βασιλεί-
ας, κτῆσαι καὶ τὸ στέμμα τῆς τῶν πενήτων εὐ-
ποιΐας.

Σκέπτου πρὶν ἐπιτάττειν ἃ θέλεις, ἵνα προστάττῃς ἐμ- 54
φρόνως ἃ θέμις. εὐόλισθον γὰρ τὸ τῆς γλώττης ὄργα-
νον, καὶ μέγιστον παρέχει τοῖς ἀμελοῦσι κίνδυνον. εἰ
δὲ τὸν εὐσεβῆ λογισμὸν ὡς μουσικὴν ἐπιστήσας αὐ-
τῷ, τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούσεται μέλος. 55

Ὀξὺ μὲν εἶναι χρὴ περὶ πάντα τὸν ἄνακτα, καὶ μά-
λιστα περὶ τὰς κρίσεις τῶν δυσχερῶν πραγμάτων.
βραδὺν δὲ λίαν εἰς ὀργὴν ἐπιδείκνυσθαι. ἐπειδὴ γὰρ
τὸ πάντῃ ἀόργητον εὐκαταφρόνητον, καὶ θυμούσθω με-
τρίως, καὶ μὴ θυμούσθω. τὸ μὲν, ἵνα τῶν φαύλων τὰς
ὁρμὰς ἀναστέλλῃ. τὸ δὲ, ἵνα τὰς ἀφορμὰς τῶν χρηστῶν
ἀνιχνεύῃ.

Ἐν τῷ ἀκριβεῖ τῆς καρδίας σου βουλευτηρίῳ, ἐπιμε- 56
λῶς κατανόει τῶν συνόντων σοι τοὺς τρόπους. ἵνα γι-
νώσκῃς ἀκριβῶς καὶ τοὺς ἐν ἀγάπῃ θεραπεύοντας, καὶ
τοὺς ἐν ἀπάτῃ κολακεύοντας. πολλοὶ γὰρ εὐνοεῖν ὑπο-
κρινόμενοι, μεγάλα τοὺς πιστεύοντας καταβλάπτουσι

57 Λόγον ἀκούσας ὠφελῆσαι δυνάμενον, μὴ μόνον ἀκοῇ τοῦτον, ἀλλὰ καὶ πράξει διαδέχου. οὕτω γὰρ τὸ τοῦ βασιλέως ἀγλαΐζεται κράτος, ὅταν ἢ παρ' ἑαυτοῦ τὰ δέοντα συνορᾷ, ἢ παρ' ἄλλου εὑρεθέντα, μηδαμῶς παρορᾷ, ἀλλὰ μανθάνῃ μὲν ἀνεπαισχύντως, ἐπιτελῇ δὲ ἀνυπερθέτως.

58 Ἀκρόπολις μὲν ἀπορθήτοις τείχεσιν ἠσφαλισμένη, καταφρονεῖ τῶν πολιορκούντων αὐτὴν πολεμίων. ἡ εὐσεβὴς δὲ βασιλεία ἡμῶν, ἐλεημοσύναις τετειχισμένη, καὶ προσευχαῖς περιπυργουμένη, ἀήττητος γίνεται τοῖς τῶν ἐχθρῶν βέλεσιν. ἀοίδιμα κατ' αὐτῶν ἐγείρουσα τρόπαια.

59 Χρῆσαι δεόντως τῇ κάτω βασιλείᾳ, ἵνα κλίμαξ σοι γένηται τῆς ἄνω εὐδοξίας. οἱ γὰρ ταύτην καλῶς διοικοῦντες, μετὰ ταύτης κἀκείνης ἀξιοῦνται. ταύτην δὲ διοικοῦσι καλῶς, οἱ πατρικὸν τοῖς ἀρχομένοις ἐπιδεικνύοντες πόθον. καὶ ἀρχικὸν παρ' αὐτῶν ἀντιλαμβάνοντες φόβον· ἀπειλαῖς μὲν, τὰ πταίσματα προαναστέλλοντες. τιμωρίαις δὲ πέρας αὐτοῖς οὐ προσάγοντες.

60 Ἱμάτιον ἀπαλαίωτόν ἐστι τὸ τῆς εὐποιΐας περιβόλαιον. καὶ ἀδιάφθορος στολὴ ἡ πρὸς τοὺς πένητας στοργή. δεῖ οὖν τὸν βουλόμενον εὐσεβῶς βασιλεύειν, τούτοις ἐνδύμασι τὴν ψυχὴν καλλωπίζειν. φιλοπτωχίας γὰρ ἠμφιεσμένος πορφύραν, καὶ οὐρανίου βασιλείας καταξιοῦται.

61 Σκῆπτρον βασιλείας παρὰ θεοῦ δεξάμενος, σκέπτου πῶς ἀρέσεις τῷ ταύτην σοι δεδωκότι. καὶ ὡς πάντων ἀνθρώπων ὑπ' αὐτοῦ προτιμηθεὶς, πλέον

πάντων

πάντων ἐπείγου καταγράφειν αὐτόν. τὸ δὲ γέρας
ἡγεῖται μέγιστον, ἂν ὡς αὐτὸν τοὺς ὑπ' αὐτοῦ διαπλα-
σθέντας ὁρᾷς, καὶ ὡς χρεῶν καταβολὴν τὰς εὐποιΐας
πληροῖς.

Τρέχειν μὲν εἰς τὴν ἄνω βοήθειαν πᾶς ἄνθρωπος 62
ὀφείλει, ὁ σωτηρίας γλιχόμενος. ὁ βασιλεὺς δὲ πρὸ
πάντων, ὡς μεριμνῶν ὑπὲρ πάντων. ὑπὸ τοῦ θεοῦ
γὰρ φυλαττόμενος, καὶ τοὺς πολεμίους καταγωνί-
ζεται γενναίως, καὶ τοὺς οἰκείους κατασφαλίζεται
σπουδαίως.

Ὁ μὲν θεὸς, οὐδενὸς δεῖται. ὁ βασιλεὺς δὲ, μόνου θεοῦ. 63
μιμοῦ τοίνυν τὸν οὐδενὸς δεόμενον. καὶ δαψιλεύου
τοῖς αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενος περὶ
τοὺς σοὺς οἰκέτας, ἀλλὰ πᾶσι παρέχων τὰς πρὸς τὸ
ζῆν αἰτήσεις. πολὺ γὰρ κρεῖττόν ἐστι διὰ τοὺς ἀξίους
ἐλεεῖν καὶ τοὺς ἀναξίους, ἢ τοὺς ἀξίους ἀποστερεῖν διὰ
τοὺς ἀναξίους.

Συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσ- 64
κε καὶ αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν, ὅτι ἀφέσει ἀν-
τιδίδοται ἄφεσις. καὶ τῇ πρὸς τοὺς ὁμοδούλους ἡμῶν
καταλλαγῇ, ἡ πρὸς θεὸν φιλία καὶ οἰκείωσις.

Δεῖ τὸν ἀμέμπτως ἀνάσσειν ἐσπουδακότα, καὶ τὰς
τῶν ἔξωθεν ἀδοξίας φυλάττεσθαι, καὶ ἑαυτὸν πρὸ ἐκεί-
νων αἰσχύνεσθαι, ἵνα καὶ τοῦ φανερῶς ἁμαρτάνειν δι'
ἐκείνους ἀπέχηται, καὶ τοῦ κατ' ἰδίαν πλημμελεῖν ὑφ'
ἑαυτοῦ κωλύηται. εἰ γὰρ οἱ ὑπήκοοι αἰδοῦς ἄξιοι φαί-
νονται, πολλῷ πλέον ὁ βασιλεὺς ἄξιος ταύτης γί-
νεται.

Ἰδιώτου μὲν εἶναι κακίαν φημὶ, τὸ πράττειν φαῦλα 65

καὶ

καὶ κολάσεως ἄξια. ἄρχοντος δὲ πονηρίαν, τὸ μὴ ποιεῖν τὰ καλὰ καὶ σωτηρίας πρόξενα. οὐ γὰρ ἡ τῶν κακῶν ἀποχὴ δικαιοῖ τὸν κρατοῦντα ἀλλ' ἡ τῶν καλῶν παροχὴ, στεφανοῖ τὸν τοιοῦτον, μὴ μόνον τοίνυν πονηρίας ἀπέχεσθαι λογιζέσθω, ἀλλὰ καὶ δικαιοσύνης ἀντέχεσθαι σπουδαζέτω.

67 Ἀξιωμάτων λαμπρότητας οὐ δυσωπεῖται ὁ θάνατος. κατὰ πάντων γὰρ ἐπιβάλλει τοὺς παμφάγους αὐτοῦ ὀδόντας. οὐκοῦν πρὸ τῆς ἐκείνου ἀπαραιτήτου παρουσίας, μεταθῶμεν εἰς οὐρανὸν τὴν τῶν χρημάτων περιουσίαν. οὐδεὶς γὰρ ἃ ἐν κόσμῳ συνάγει, ἐκεῖσε ἀποδημήσας ἀπάγει, ἀλλὰ πάντα καταλιπὼν ἐπὶ γῆς, γυμνὸς λογοθετεῖται τὸν βίον αὐτοῦ.

68 κύριος μὲν πάντων ἐστὶν ὁ βασιλεὺς. δοῦλος δὲ μετὰ πάντων ὑπάρχει θεοῦ. τότε δὲ μάλιστα κληθήσεται κύριος, ὅταν αὐτὸς ἑαυτοῦ δεσπόζῃ, καὶ ταῖς ἀτόποις ἡδοναῖς μὴ δουλεύῃ, ἀλλὰ σύμμαχον ἔχων τὸν εὐσεβῆ λογισμὸν, τὸν ἀήττητον αὐτοκράτορα τῶν ἀλόγων παθῶν, τοὺς πανδαμάτορας ἔρωτας τῇ πανοπλίᾳ τῆς σωφροσύνης καταγωνίζεται.

69 Ὃν τρόπον αἱ σκιαὶ τοῖς σώμασιν ἕπονται, οὕτως αἱ ἁμαρτίαι ταῖς ψυχαῖς ἀκολουθοῦσιν, ἐναργῶς τὰς πράξεις ἐξεικονίζουσαι. διὰ τοῦτο οὐκ ἔστιν ἐν τῇ κρίσει ἀρνήσασθαι. αὐτὰ γὰρ ἑκάστου καταμαρτυρήσει τὰ πράγματα οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαῦτα φανέντα, οἷα παρ' ἡμῶν ἐπράχθησαν.

70 Νηὸς ποντοπορούσης μιμεῖται διάβασιν, ἡ βραχυπλὴς τοῦ παρόντος βίου κατάστασις, ἡμᾶς τοὺς αὐτῆς πλωτῆρας λανθάνουσα, καὶ καταμικρὸν προσάγουσα δρόμον

δρόμον, καὶ πρὸς ἴδιον ἑκάστου παραπέμπουσα, τέλος. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, παραδράμωμεν τὰ παρατρέχοντα τοῦ κόσμου πράγματα, καὶ προσδράμωμεν τοῖς εἰς αἰῶνας τῶν αἰώνων μένουσιν. 71

Ὁ σοβαρὸς καὶ ὑπέροφρυς ἄνθρωπος, μὴ ὡς ταῦρος ὑψίκερως ἐπαιρέσθω, ἀλλ' ἐννοείτω τῆς σαρκὸς τὴν ὑπόστασιν, καὶ παυέτω τῆς καρδίας τὴν ἔπαρσιν. εἰ γὰρ καὶ γέγονεν ἄρχων ἐπὶ γῆς, μὴ ἀγνοείτω ὑπάρχων ἐκ τῆς γῆς. ἀπὸ χοὸς ἐπὶ θρόνον ἀναβαίνων, καὶ εἰς αὐτὴν μετὰ χρόνον καταβαίνων.

Σπούδαζε διαπαντὸς ἀήττητε βασιλεῦ, καὶ ὥς περ οἱ 72 τὰς κλίμακας ἀναβαίνειν ἀρξάμενοι, οὐ πρότερον ἵσανται τῆς ἐπὶ τὰ ἄνω φορᾶς πρὶν ἂν τοῦ ἄκρας ἐφίκωνται βαθμίδος, οὕτω καὶ αὐτὸς ἔχου τῆς τῶν καλῶν ἀναβάσεως, ὅπως ἂν καὶ τῆς ἄνω βασιλείας ἀπολαύσῃς, ἥν σοι παράσχοι χριστὸς, μετὰ τῆς ὁμοζύγου, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ βασιλευομένων εἰς τοὺς αἰῶνας, ἀμήν.

Τ Έ Λ Ο Σ.

ἐκθέσεως παραινετικῆς Ἀγαπη/
τοῦ διακόνου, πρὸς Ἰουστινια/
νὸν τὸν καίσαρα,
ἥτις παρ' ἕλλη
σι, βασι
λικὰ
ὀνομάζεται χέδη.



ΟΝΟΜΑΤΑ

ἈΝΔΡΩΝ ἘΠΙΣΗΜΩΝ, ὯΝ ἘΙΝ ΑΓ
λέγονται ἁι ἑπόμεναι ἐφεξῆς γνῶμαι.

Α

Αἰσχίνης
Αἰσχύλος
Αἴσωπος
Ἀλέξανδρος.
Ἄμασις.
Ἄμφις.
Ἀναξαγόρας.
Ἀνάχαρσις.
Ἀναξαμήνιος.
Ἀνταγόρας.
Ἀντίγονος.
Ἀντισθένης
Ἀντιφάνης.
Ἀπελλῆς
Ἀπολλώνιος.
Ἀρίσταρχος
Ἀριστείδης
Ἀρίστιππος
Ἀριστοτέλης
Ἀριστώνυμος
Ἀρκεσίλαος.

Β

Βαβύλας
Βαρνάβας
Βασίλειος
Βενέδικτος
Βεσελεήλ
Βίας
Βλάσιος

Γ

Γάϊος
Γελάσιος
Γεννάδϊος
Γερβάσϊος
Γερμανός
Γερόντιος
Γρηγόριος

Δ

Δημάδης
Δημήτριος ὁ φαληρεύς
Δημόκριτος
Δημοσθένης
Δημῶναξ

Αἰσχίνου.



Αἰσχίνης εἶπε, τὸ πέρα κατεύδειν τοῦ πρέποντος τοῖς τεθνηκόσι μᾶλλον ἤπερ τοῖς ζῶσιν ἁρμόζει.

Αἰσχύλου.

κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

Αἰσώπου.

Αἴσωπος πρὸς τὸν τῷ κάλλει κακῶς κεχρημένον εἶπεν ὁποίῳ ἱματίῳ ἠμφιεσμένος κακῶς αὐτὸ ἀποδύοι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη δύο πήρας ἕκαστον ἡμῶν ἔχειν τὴν μὲν ἔμπροσθεν. τὴν δ' ὄπισθεν. καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν.

Τοῦ αὐτοῦ.

5 ὁ αὐτὸς ὀνειδιζόμενος ὅτι χαλεπὴν ἔχει τὴν ὄψιν, ἔφη. εἰ μή μου τὸ εἶδος ἀλλ' εἰς τὸν νοῦν δεῖ προσέχειν.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς θεασάμενος νεανίσκον καλλωπιζόμενον, ἔφη εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς. εἰ δὲ πρὸς γυναῖκας ἀδικεῖς.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς θεασάμενος μειράκιον εὔμορφον, καὶ διὰ τοῦτο φιλούμενον ἔφη. ὦ μειράκιον σπούδασον τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὴν ψυχὴν μεταγαγεῖν.

Ἀλεξάνδρου.

Ἀλέξανδρος ὁ βασιλεὺς ἰδὼν Διογένην κοιμώμενον ἐν πίθῳ ἔφη πίθε μεστὲ φρενῶν. ὁ δὲ φιλόσοφος ἀναστὰς ἔφη. ὦ βασιλεῦ μέγιστε. θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον. ἧς μὴ παρούσης δυστυχοῦσιν αἱ φρένες.

Τοῦ αὐτοῦ

Τοῦ αὐτοῦ.

Ο' αὐτὸς ἐπιςολὴν παρὰ τῆς μητρὸς ἀναγινώσκων, αἰτίας ἀποῤῥήτους κατ' ἀντιπάτρου καὶ διαβολὰς ἐχουσαν, ἅμα τοῦ ἡφαιςίωνος ὥσπερ εἰώθει συναναγινώσκειν οὐκ ἐκώλυσεν, ὡς δὲ ἀνέγνω, τὸ δακτύλιον ἀφελόμενος τὸ ἑαυτοῦ ἐν τῷ ςόματι ἐκείνου τὴν σφραγίδα ἐπέθηκεν.

Τοῦ αὐτοῦ.

Ο' αὐτὸς. ὅςις λόγους παρακαταθήκης λαβὼν ἐξεῖπεν, ἄδικος ἐςὶν, ἢ ἀκρατὴς ἄγαν. ὁ μὲν διὰ κέρδος ἄδικος. ὁ δὲ τούτου ἀκρατής. ἴσως δέ γε εἰσὶν ἀμφότεροι κακοί.

Τοῦ αὐτοῦ.

Ο' αὐτὸς ἐρωτηθεὶς τίνα μᾶλλον ποθεῖ τὸν πατέρα φίλιππον ἢ ἀριςοτέλην τὸν διδάσκαλον, ἔφη, ὁ μὲν γὰρ τοῦ γενέσθαι, οὐδὲ τοῦ καλῶς γενέσθαι αἴτιος.

Τοῦ αὐτοῦ.

Ο' αὐτὸς βαρύτι ἐπιταττούσης τῆς μητρὸς ὀλυμπιάδος, ἔφη, ἐν παντὶ τῷ βίῳ τρεῖς μεταμελείας εἶναι, μίαν μὲν ἐπὶ τῇ γυναικὶ πιςεῦσαι λόγον ἀποῤῥητον. ἑτέραν δὲ πλεύσας, ὅπου δυνατὸν πεζεῦσαι, τὴν δὲ τρίτην. ὅτι μίαν ἡμέραν ἀδιάθετος ἔμεινεν.

Τοῦ αὐτοῦ.

Ο' αὐτὸς τινα τῶν ἰνδῶν τῶν ἄριςα δοκούντων καὶ λεγομένων διὰ δακτυλίου τὸν ἰςὸν ἀφιέναι, ἐκέλευσεν ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον, ὀργισθεὶς ἀνελεῖν προσέταξεν. ἐπεὶ δὲ ἀπαγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολὺς χρόνος ἐςὶν ἀφ' οὗ ἐπὶ χεῖρας τὸ τόξον οὐ κατέλαβον. καὶ τὸ ἀποτυχεῖν ἐφοβήθην. ταῦτα ἀκούσας ἀλέξανδρος ἐθαύμασε, καὶ

ἐξέλασεν μετὰ δώρων αὐτὸν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν ἢ τῆς δόξης ἀνάξιον φανῆναι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἀκούσας ὅτι Δαρεῖος τριάκοντα μυριάδας εἰς παράταξιν ἄγει. ἔφη εἷς μάγειρος πολλῶν προβάτων οὐ πτοεῖται.

Τοῦ αὐτοῦ.

15 Ὁ αὐτὸς κατασκόπου λέγοντος αὐτῷ πλείους εἶναι τοὺς Δαρείου εἶπε. καὶ τὰ πρόβατα πλείονα ὄντα ὑφ᾽ ἑνὸς ἢ δευτέρου λύκου χειροῦνται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἰδών τινα τῶν γερόντων βαπτόμενον τὰς τρίχας. εἶπε, μὴ τὰς τρίχας βάπτε. ἀλλὰ τὰ γόνατα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς νοσήσας μακρὰν νόσον, ὡς ἀνέῤῥωσεν, ἔφη οὐδὲν ἐμοὶ γέγονε χεῖρον. ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν θνητοὺς ὄντας.

Ἀμάσιδος.

Ἄμασις ὁ τῶν Αἰγυπτίων βασιλεὺς φίλῳ ἀποβαλόντι υἱὸν, γράφων παραμυθητικῶς εἶπεν. ὅτι οὐδέποτε ἦν, οὐκ ἐλύπου. μὴ δὲ νῦν ὅτι μηκέτι ἔστι, λυπηθῇς.

Ἄμφιδος.

Ἄμφις ἔφη. ὅστις ὀμνύειν μηδὲν πείθεται αὐτοῦ, ἐπιορχεῖν ῥᾳδίως ἐπίσταται.

Ἀναξαγόρα.

20 Ἀναξαγόρας εἶπε δύο διδασκάλους εἶναι θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον.

Ἀναχάρσιδος.

Ἀνάχαρσις κιρναμένου κρατῆρος ἐφεστίου, τὸν μὲν

πρῶτον

πρῶτον εἶπεν ὑγιείας πέρι πίνεσθαι. τὸν δὲ δεύτερον περὶ ἡδονῆς. τὸν δὲ τρίτον ὕβρεως. τὸν δὲ τέταρτον μανίας.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας, καὶ γὰρ ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα, μὴ βλάπτουσα τὸν ζηλούμενον. ὥσπερ οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ᾽ ἰδίαν ἐξουσίαν, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο. φθόνος γὰρ στάσεως ἀρχὴν ἀπεργάζεται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἀγαθὸν εἶπεν, εἰ οὐκ ἦν ἀνθρώποισιν ἐν βίῳ φθόνος, πάντες ἂν ἦμεν ἄξια πεφυκότες.

Τοῦ αὐτοῦ.

Ὁ αὐτός ποτε ἀστραγαλίζων καὶ ἐπιτιμηθεὶς ὅτι παίζοι. ἔφη καθάπερ τὰ τόξα διὰ παντὸς ἐντεταμένα ῥήγνυται. ἐπὰν δ᾽ ἀνεθῇ, εὔχρηστα γίνεται πρὸς τὰς χρείας, οὕτω καὶ ὁ λογισμὸς ἀεὶ ἐν τῷ αὐτῷ μένων.

Ἀνεξαμηνοῦς.

Ἀνεξαμηνὸς εἶπεν, ὅσοι τὰ καλῶς ῥηθέντα ἢ πραχθέντα διὰ φθόνον οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἐν τοῖς ἔργοις ὠφελήσουσιν;

Ἀνταγόρα.

Ἀνταγόρας εἶπεν, ὅταν ἐπαινῶσι με οἱ πολλοί, τότε νομίζω μηδενὸς ἄξιος εἶναι. ὅταν δὲ ὀλίγοι, σπουδαῖον ἄνθρωπον.

Ἀντιγόνου.

Ἀντίγονος κύνα πάγκαλον ἔχων ἑπτάκις χιλίων

δραχμῶν ἀπέκοψεν αὐτοῦ τὴν οὐρὰν, ὅπως ἔφη τοῦτο λέγωσιν ἀθηναῖοι περὶ ἐμοῦ, καὶ μηδὲν ἄλλο πολυπραγμονῶσιν.

Ἀντισθένους.

Ἀντισθένης τοῖς μέλλουσι σώζεσθαι ἔφη, φίλων δεῖ γνησίων ἢ διαπύρων ἐχθρῶν. οἱ μὲν γὰρ νουθετοῦντες τοὺς ἁμαρτάνοντας. οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί δήποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν. ἀλλ' ἀνάπαλιν. εἶπεν ὅτι οἱ σοφοὶ μὲν ἴσασιν ὧν ἐστὶν αὐτοῖς χρεία πρὸς τὸν βίον οἱ δὲ οὐκ ἴσασιν. ἐπεὶ μᾶλλον σοφίας, ἢ χρημάτων ἐπεμελοῦντο.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς τί ἐστὶν ἑορτή; ἔφη γαστριμαργίας ἀφορμή.

Ἀντιφάνους.

Ἀντιφάνης εἶπε. τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικρὰς. τὰς δέ λύπας μακράς.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκεν. εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.

Ἀπελλοῦ.

Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθεὶς διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, εἶπεν. οὐκ ἔστι γὰρ, ἀλλ' ἄνθρωπος ὢν μέμνησο τῆς κοίνης τύχης.

Ἀπολλωνίου.

Ἀπολλώνιος, τὸ τῆς ὀργῆς πάθος μὴ καθομιλούμενον, μὴ δὲ θεραπευόμενον φυσικὴ νόσος γίνεται, ἔφη.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς

Ο αὐτὸς, ὁ περὶ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος, ἔφη, οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον, καὶ πότε μεῖζον ἠδίκησε.

Τοῦ αὐτοῦ.

Ο αὐτὸς πολλὴν ἐπιμέλειαν, ἔφη, ποιεῖσθε περὶ τοῦ μὴ λέγειν ἃ μὴ δεῖ. παντελῶς γὰρ ἀπαιδεύτου τινός ἐστι τὸ μὴ δύνασθαι σιωπᾶν. ἀλλ' ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα.

Τοῦ αὐτοῦ.

Ο αὐτὸς ἔφη πολλοὶ πολλὰ σφάλματα ἔχουσι: τὸ δὲ σιγᾶν ἀσφαλές.

Τοῦ αὐτοῦ.

Ο αὐτὸς εἴρηκεν, οὐ φθονητέον. ἀγαθοὶ μὲν γὰρ ἄξιοι· κακοὶ δὲ, ἂν ἀτυχῶσι, κακῶς ζῶσιν.

Ἀρίσαρχου.

Ἀρίσαρχος καλούμενος ἐπὶ δεῖπνον οὐ πρῶτον ὡμολόγησεν, ἢ πείθεσθαι τῶν κεκλημένων ἕκαστον. ἔφη γὰρ ὅτι σύμπλους ἀγνώμονα δεῖ φέρειν καὶ σύσκηνον, οἷς πλεῖν ἀνάγκη ἢ στρατεύεσθαι. πρὸς δὲ τὸ συμπόταις ἑαυτὸν ὡς ἔτυχεν καταμιγνύειν, οὐ νοῦν ἔχοντος ἀνδρός ἐστιν.

Ἀρισείδου.

Ἀρισείδης εἶπε· πάντες, ὡς ἔπος εἰπεῖν, τοὺς μὲν ὑπηρετοῦντας αὐτῶν ταῖς ἐπιθυμίαις ἀποδέχονται. καὶ νομίζουσιν οὐ μόνον εὔνους, ἀλλὰ καὶ μόνους ἄνδρας ὡς ἀληθῶς, εἶναι, τοῖς δὲ σωφρονεῖν ἐπιχειροῦσιν, ἀηδῶς ἔχουσιν.

Τοῦ αὐτοῦ.

Ο αὐτὸς, οὐδ' ἅρμα ἀναβαίνειν, ἔφη, θαρσήσειεν ἄντις νέ

τὸν κρημνὸν ὁρῶν, εἰδὼς ὡς οὐχ οἷός τε ἐστὶ μένειν ἐπ' ὄχος. οὔτε πραγμάτων τοιούτων ἐπιβαίνειν, ὧν ἐκπεσὼν, εὐθὺς κείσεται. ὁ γὰρ μείζονα, ἢ καθ' ἑαυτὸν ὄγκον ἀναιρούμενος, κἂν παραχρῆμα ἐνέγκῃ, ῥαδίως μετὰ μικρὸν ἀπώλετο συγχυθείς.

Ἀριστείδου τοῦ δικαίου.

Ἀριστείδης ὁ δίκαιος ἐρωτηθεὶς πόσον ἐστὶ τὸν ἄνθρωπον καλὸν ζῆν. ἔφη ἕως ἂν ὑπολάβῃ τεθνάναι, τοῦ ζῆν κρεῖττον εἶναι.

Ἀριστίππου.

Ἀρίστιππος ὁ κυρηναῖος φιλόσοφος παρεκελεύετο τοῖς νέοις, τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς ἐν ναυαγήσασι συγκολυμβήσει.

Τοῦ αὐτοῦ,

Ὁ αὐτὸς θεασάμενος τινὰ ὀργιζόμενον καὶ διὰ τῶν λόγων χαλεπαίνοντα ἔφη. μὴ σωθήκων λόγους ὀργῆς ἄγωμεν. ἀλλὰ τὴν διὰ τῶν λόγων καταπαύωμεν.

Τοῦ αὐτοῦ.

Ἀρίστιππος λέγοντος αὐτῷ τινος διὰ σὲ ἀπόλωλεν ὁ ἀγρός. οὐκοῦν ἔφη, κάλλιον δι' ἐμὲ τὸν ἀγρὸν, ἢ διὰ τὸν ἀγρὸν ἐμέ.

Ἀριστοτέλους.

Ἀριστοτέλης ἔφη ὥσπερ καπνὸς ἐπιδάκνων τὰς ὄψεις οὐκ ἐᾷ προσβλέπειν τὸ κείμενον ἐν ποσὶν, οὕτως ὁ θυμὸς ἐπερχόμενος τῷ λογισμῷ ἐπισκοτεῖ, καὶ τὸ συμβησόμενον δι' αὐτοῦ ἄτοπον οὐκ ἀφίησι τῇ διανοίᾳ προβλέπειν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς

Ο' αὐτὸς εἶπεν, ὁ μὴ εἰδὼς σιωπᾷν οὐκ εἰδε διαλέγεσθαι. ἀλλ' ἐρωτηθεὶς, καὶ ὑπότινος, τί δισκολώτατον ἐστὶν ἐν βίῳ, εἶπεν, τὸ σιωπᾷν, ἃ μὴ δεῖ λέγειν.

ΤΟΥ ΑΥΤΟΥ.

Ο' αὐτὸς τοὺς ἐναργῆ πράγματα πειρωμένους δεικνύναι ὁμοίους ἔφη εἶναι τοῖς διὰ λύχνου τὸν ἥλιον φιλοτιμουμένοις δεικνύναι.

ΤΟΥ ΑΥΤΟΥ.

Ο' αὐτὸς χρὴ φησὶ τὸν υἱὸν δοῦλον εἶναι τοῦ πατρὸς ἢ τὸν οἰκέτην. ὁ μὲν γὰρ φύσει τοῦ πατρὸς δοῦλος ἐστὶν ὁ δὲ, νόμῳ.

ΤΟΥ ΑΥΤΟΥ.

Ο' αὐτὸς θεασάμενος νεανίσκον κατωφρυωμένον μηδὲν ἐπιστάμενον. νεανίσκε ἔφη, οἷος μὲν δοκεῖς αὐτὸς εἶναι, ἐγὼ γενοίμην. οἷος δὲ τῇ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί μοι οἱ ἐχθροὶ γένοιντο.

ΤΟΥ ΑΥΤΟΥ.

Ο' αὐτὸς κατανοήσας μειράκιον ἐπὶ πολυτελείᾳ χλαμύδος σεμνυνόμενον, οὐ παύσῃ μειράκιον, ἔφη, σεμνυνόμενον ἐπὶ προβάτων ἀρετῇ.

ΤΟΥ ΑΥΤΟΥ.

Ο' αὐτὸς εἶπεν, ἀξίωμα μέγιστον ἐστὶν οὐ τὸ τιμαῖς κεχρῆσθαι, ἀλλὰ τὸ ἄξιον ἑαυτὸν εἶναι νομίζεσθαι.

ΤΟΥ ΑΥΤΟΥ.

Α'ριστοτέλης ὥσπερ φασὶν ἔφη ἐν ἰατρικῇ, τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁπόσῳ ἂν θέλῃς θρέψειν, μᾶλλον βλάψεις ὕλην βάλλων κακχυμείας. οὕτως καὶ ψυχὴν μοχθηρὰν δόγμασι προκατειλημμένην ὅπως ἂν διδάξῃς, μᾶλλον βλάψεις, μείζονας ἀρχάς.

αὐτῆς τῆς ψευδοδοξίας παρέχων.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν. ὁ φθόνος ἀνταγωνιστής ἐστι τῶν εὐτυχούντων. καὶ ὁ μὲν ζῆλος ἐπιεικές ἐστι καὶ ἐπιεικῶν. τὸ δὲ φθονεῖν φαῦλον καὶ φαύλων. ὁ μὲν γὰρ αὐτὸν παρασκευάζει διὰ τὸν ζῆλον τῶν ἀγαθῶν τυγχάνειν. ὁ δὲ τὸν πλησίον μὴ ἔχειν διὰ τὸν φθόνον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη τὰ πόρρω σφόδρα, οὐ φοβοῦνται. ἴσασι γὰρ πάντες ὅτι ἀποθανοῦνται. ἀλλ᾽ ὅτι οὐκ ἐγγὺς, οὐδὲν φροντίζουσι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκεν ἐκ τοῦ βίου κράτιστον ὑπεξελθεῖν ἐστὶν ὡς ἐκ συμποσίου μήτε διψῶντα, μήτε μεθύοντα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη. ὁ ἐν νόσῳ διαθήκας γράφων παραπλήσια πράττει, τοῖς ἐν χειμῶσι θαλαττίοις εὐτρεπίζειν ἀρχομένοις τὰ τῆς νηὸς ὅπλα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς βλασφημούμενος ὑπ᾽ ἀνθρώπου ἀσελγοῦς ἔφη σὺ καὶ ἀκούεις τὰ κακὰ ῥαδίως, καὶ λέγεις εὐχερῶς. ἐμοὶ δὲ καὶ λέγειν ἀηδὲς, καὶ ἀκούειν ἀηδές.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς. ἔφη τὸ μὴ αἰσχύνεσθαι κακὸν ὄντα, κακίας ὑπερβολή.

Ἀρισωνύμου.

Ἀρισώνυμος εἶπεν. ὥσπερ τὸ μέλι τὰ ἑλκόμενα δάκνει. τοῖς δὲ κατὰ φύσιν ἡδὺ ἐστὶν, οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι.

Τοῦ

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν ὁ φθόνος ὥσπερ φαῦλος δημαγωγὸς ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν. ἔοικεν ὁ βίος θεάτρῳ. διὸ πολλάκις χείριστοι τὸν κάλλιστον ἐν αὐτῷ κατέχουσι τόπον.

Ἀρκεσιλάου.

Ἀρκεσίλαος ἔλεγεν ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροί, ἐνταῦθα νόσοι πλεῖστοι. οὕτω καὶ ὅπου νόμοι πολλοί, ἐνταῦθα πλείστους κακοὺς εἶναι εἰκός ἐστι, καὶ ἀδικίαν μεγίστην.

Βαβύλα.

Βαβύλας εἶπεν, ἥκιστα κακὰ οὐχ ὑφορᾶται τὸ κακίας ἐλεύθερον.

Βαρνάβα.

Βαρνάβας ὁ ἀπόστολος ἔφη. ἐν ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας. διότι ἀπέρχεται πλέον ἔχων τῆς ἁμαρτίας.

Βασιλείου.

Βασίλειος ὁ μέγας ἔφη. ἀρετῆς ἄσκησιν τίμιον μὲν κτῆμα τῷ ἔχοντι, ἥδιον δὲ θέαμα τῷ ἐντυγχάνοντι.

Τοῦ αὐτοῦ.

Βασίλειος ὁ μέγας εἶπε. πολλὰ τῶν καλῶν οὐ δοκεῖν εἶναι τοιαῦτα, τοῖς τὸ κριτήριον τῆς διανοίας οὐκ ἀκριβὲς κεκτημένοις.

Τοῦ αὐτοῦ.

Τῶν ἀγαθῶν ἔργων αἱ χάριτες, ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκεν. ὅτι πολλάκις ἀκρασία δήμου τὴν χείριστον, εἰς ἀρχὴν προεστήσατο.

ΤΟΥ ΑΥΤΟΥ.

Βίαιον γὰρ μάθημα οὐ πέφυκεν παραμένειν. τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδόμενον μονιμώτερόν πως ταῖς ψυχαῖς ἐνιζάνει.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς ἔλεξε. τί ὀργῆς ἀφρονέστερον; ἐὰν μείνης ἀόργητος, ᾔσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς ἔλεγε βέλτιον ἀποροῦντας σιωπᾶν, καὶ πιστεύειν ἢ ἀπιστεῖν διὰ τὸ ἀπορεῖν.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ τῶν ἀλλοτρίων ἐρῶν, μετ' οὐ πολὺ θρηνήσει τῶν ἰδίων ἀποστερούμενος.

ΤΟΥ ΑΥΤΟΥ.

Εὐγνώμονες παῖδες μεγάλα ποιοῦσι τὰ τῶν πατέρων ἐγκώμια.

ΤΟΥ ΑΥΤΟΥ.

Ὥσπερ γὰρ τομῆς ἢ τοῦ καυτῆρος οὐχ ὁ ἰατρὸς αἴτιος ἀλλ' ἡ νόσος. οὕτω καὶ οἱ τῶν πόλεων ἀφανισμοί, ἐκ γὰρ ἀμετρίας τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες, τὸν θεὸν πάσης μέμψεως ἀπολύουσι.

ΤΟΥ ΑΥΤΟΥ.

Ὥσπερ τὰς μελίττας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς ἐξελαύνει δυσωδία, οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον, ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία. ἀλλὰ καὶ κακία σιωπηθεῖσα. νόσος

ὕπουλος

ὕπουλος ἐστὶν ἐν τῇ ψυχῇ.

τοῦ αὐτοῦ.

Τῷ ὄντι θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερον πέφυκε γίνεσθαι.

τοῦ αὐτοῦ.

Μήμε νομίσῃς ὥσπερ μητέρα τινὰ ἢ τροφὸν ψευδῆ σοι μορμολύκια ἐπισείειν. ὥσπερ ἐκεῖναι ποιεῖν, ἐπὶ τὰ νήπια τῶν παίδων εἰώθασιν, ὅταν θρηνῶσιν ἄτακτα καὶ ἀπέραντα. καὶ δι' ἐπιπλάσεως τῶν διηγημάτων κατασιγάζουσι. ταῦτα γὰρ οὐ μῦθος, ἀλλὰ λόγος ἀψευδὴς προσκεκηρυγμένος φωνῇ. καὶ ἴσθι ἀκριβῶς ὅτι γενήσεται τῶν βεβιωμένων ἔλεγχος ἀκριβής.

τοῦ αὐτοῦ.

Ἀνεπιστήμων ἰατρὸς πρὸς κάμνοντας εἰσιὼν, ἀντὶ τοῦ εἰς ὑγίειαν αὐτοὺς ἐπαναγαγεῖν, καὶ τὸ μικρὸν λείψανον τῆς δυνάμεως ἀφαιρεῖται.

τοῦ αὐτοῦ.

Ὥσπερ ἡ ἐρυσίβη ἴδιον ἐστὶ τοῦ σίτου νόσημα. οὕτως ὁ φθόνος φίλων ἐστὶν ἀῤῥώστημα.

τοῦ αὐτοῦ.

Βασίλειος ὁ μέγας εἴρηκεν ἐκ λογικοῦ γὰρ καὶ ἀλόγου ἴσως τὸ ἑλληνικὸν πρὸς φυσιολόγου πλάσμα ὥσπερ τινα κένταυρον συνθεὶς ὁ δημιουργός. ὅλον τὸν ἄνθρωπον τῷ ἀνθρωπομόρφῳ ἀπὸ κεφαλῆς ἕως στέρνων ἄνωθεν μέρει. τὸ ἀπὸ ὀμφαλοῦ καὶ ὀσφύος καθάπερ ἵππου φύσιν. πρός τε τὰς γαστρὸς ἡδονὰς κτηνώδεις ὑπάρχον, καὶ πρὸς τὰς μίξεις ἀλόγως κινούμενον κάτωθεν φέρων προσήρμοσεν, οὐχ ὑπὸ ἀλόγου μέρους τὸ λογικὸν ἐξαρπάζεσθαι βουληθείς, ἀλλὰ τὸ λογικὸν

ὑποβεβλημένον ἔχοντι τὸ ἄλογον μέρος, ἡνιοχεῖσθαι τὲ πρὸς τὰς τῆς φύσεως ἀνάγκας πανσόφως.

Τοῦ αὐτοῦ.

Ἐὰν οἱ σώφρονες τοὺς φαύλους ἴδωσιν ἀτιμαζομένους πολὺ προθυμότερον τῆς ἀρετῆς ἀνθέξονται.

Τοῦ αὐτοῦ.

Ἡ ἐπιπλεῖστον ἐνταῦθα διατριβὴ, πλειόνων κακῶν ἐστὶν ἀφορμή.

Τοῦ αὐτοῦ.

Βασιλείου Ὅσον ἐστὶ τῆς εἰρήνης ἀγαθὸν. τί χρὴ λέγειν πρὸς ἄνδρας υἱοὺς τῆς εἰρήνης. οὐδὲν γὰρ οὕτως ἴδιον χριστια νοῖς, ὡς τὸ εἰρηνοποιεῖν. διότι καὶ τὸν ἐπ' αὐτῷ μισθὸν μέγιστον ἡμῖν ὁ κύριος ἐπηγγείλατο.

Τοῦ αὐτοῦ.

Ἐπαινῶ τὸν εἰπόντα τὰς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια.

Τοῦ αὐτοῦ.

Αἱ πονηραὶ τῶν γυναικῶν διαθέσεις τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς. πλέον τῷ ὄντι τοῖς ἐν θριξὶ λευκότερος εἰς πρεσβυτέρου σύστασιν, τὸ ἐν φρονήσει πρεσβυτικόν.

Βενεδίκτου.

Βενέδικτος ὁ ῥήτωρ εἶπεν. ἡ ἀντίλογος τὸ αὐτοκρατορικὸν καὶ ἀνυπότακτον δείκνυσι καὶ ἐν σχήματι ταπεινώσεως γίνεται.

Βασελεήλ.

Βεσελεὴλ ὁ τεχνικὸς ἔφη. διαφέρει τοῦ νηπίου καθηλικίαν οὐδὲν ὁ ἐν ταῖς φρεσὶ νηπιάζων.

Βίας

Βίαντος.

Βίας ὁ σοφὸς εἶπε· βραδέως ἐγχείρει τοῖς πράγμασιν ἐγχειρήσας δὲ πράττε βεβαίως.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς τίς ἄριστος σύμβουλος, ἔφη ὁ καιρός.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· δεῖ τὸν ἀγαθὸν ἄνδρα, μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα. περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκε. αἱ τόπων μεταβολαὶ, οὔτε φρόνησιν διδάσκουσιν, οὔτε ἀφροσύνην ἀφανίζουσιν.

Τοῦ αὐτοῦ.

Μακάριος ἐστὶν ὁ πλουτῶν καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων ὁ δὲ μὴ ἐπιθυμῶν μακαριώτερος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς μέλλων θανάτου καταδικάζειν ἐδάκρυσεν, εἰπόντος δέ τινος. τί παθὼν αὐτὸς καταδικάζων, κλαίεις; εἶπεν ὅτι ἀναγκαῖον ἐστὶ τῇ μὲν φύσει ὡς συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.

Τοῦ αὐτοῦ.

Βίας ἔλεγε τοὺς αἰτουμένους παρὰ τοῦ θεοῦ φρένας ἀγαθὰς, καὶ μὴ ἑαυτοὺς παιδεύοντας, ἀναισθήτους εἶναι. οὔτε γὰρ ζωγράφον εὐχόμενον τοῖς θεοῖς δοῦναι αὐτῷ εὔχειραν καὶ γραμμὴν λαβεῖν, ἂν μὴ μάθῃ τὴν τέχνην. οὔτε μουσικὸν γενέσθαι ποτ' ἂν ἕνεκεν εὐχῆς εἰ μὴ τὰ μουσικὰ μάθῃ. τὸν δ' αὐτὸν τρόπον, οὐδ' αὖ φρόνιμον γενέσθαι τινὰ εὐχόμενον, εἰ μὴ τούτων τὴν μάθησιν λάβῃ.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς

Ὁ αὐτὸς εἴρηκεν ἐοίκασι τοῖς ὄμμασι τῶν γλαυκῶν οἱ περὶ τὴν ματαίαν σοφίαν ἠσχοληκότες, καὶ γὰρ ἐκείνης αἱ ὄψεις, νυκτὸς μὲν ἐῤῥῶνται, ἡλίου δὲ λάμψαντος ἀμαυροῦνται. καὶ τούτων ἡ διάνοια ὀξυτάτη μὲν ἐστὶν πρὸς τὴν ματαιότητος θεωρίαν, πρὸς δὲ τὴν τοῦ ἀληθινοῦ φωτὸς κατανόησιν ἐξαμαυροῦνται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν, ὡς ἔθελε τὸ φέρον σε φέρειν φέρον, ἂν δ' ἀπειθήσῃς καὶ σαυτὸν βλάψεις καὶ τὸ φέρον σε φέρει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς. ἀτυχοῦσαι ἔφη τὴν ἀτυχίαν μὴ φέροντα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί δυσχερὲς, τὴν ἐπὶ τὸ χεῖρον ἔφη μεταβολὴν εὐσεβῶς ὑπενεγκεῖν.

Τοῦ αὐτοῦ.

Ὧν ἄκοσμος ὁ βίος τούτοις σιωπὴ μέγιστος κόσμος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος ὅτι τὸ σόμα δυσῶδες εἶχε. πολλὰ εἶπεν αὐτῷ τῶν ἀποῤῥήτων ἐγκατεσάπη.

Τοῦ αὐτοῦ.

Βίας μειρακίου παρὰ πότον ληροῦντος πολλάκις καὶ μὴ βουλομένου σιωπῆσαι ἔφη μειράκιον. πῶς παρ' οὗ ἔμαθες λαλεῖν παρ' αὐτοῦ τὸ σιωπᾶν οὐκ ἔμαθες.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἀφοβον. εἶπε ὀρθὴ συνείδησις.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς μὲν ἔν τινι συμποσίῳ σιωπῶν καὶ σκωπτόμενος

μενος ὑπότινος ἀδολέσχου. καὶ τίς ἂν ἔφη δύναιτο μωρὸς ἐν οἴνῳ σιωπᾶν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη. ἀγαθὸς εἶ, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε γίνεται φθόνος. 100

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη κράτιστον εἶναι δημοκρατίαν ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκε. τὸν βίον οὕτω μετρεῖν ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσόμενος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐπικαλουμένου τινὸς τὸν θάνατον ἐπί τινων ἀπολείᾳ ἔφη, τί αὐτὸν καλεῖς ἄνθρωπε. ὃν κἂν μὴ καλέσῃς οὐχ ἥξει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ποῖος τῶν θανάτων κακός. ἔφη ὁ ἀπὸ τῶν νόμων ἐπαγόμενος.

Τοῦ αὐτοῦ.

Βίας θεασάμενος τὴν μάχαιραν ἐρριμμένην, ὦ καινὶς ἔφη τίς σε ἀπώλεσεν ἢ τίνα σύ. 110

Βλασίου.

Βλάσιος εἶπεν. τὸ κατ' ὄναρ εἰδεῖν τὰ ποθούμενα φέρει τοῖς ἀγαπῶσι παραμυθίαν.

Γαΐου.

Γάϊος ἔφη. σωφρονέστερον τὸ μετὰ τὸ παθεῖν ἐγκαλεῖν, τὸ πρὶν παθεῖν, φυλάξασθαι τὸ μὴ παθεῖν.

Γελασίου τοῦ ῥήτορος.

Γελάσιος ὁ ῥήτωρ εἶπεν ἡ τῶν ἐν φιλοσοφίᾳ δογμάτων

των δύναμις τῖς μὲν ἐπιεικέσιν ἀρετῆς ὅπλον. τῖς δὲ μοχθηροτέροις κέντρον κακίας γίνεται.

Τοῦ αὐτοῦ.

Ἀδέσποτον γὰρ ἡ ἀρετὴ καὶ ἑκούσιον καὶ ἀνάγκης ἐλεύθερον.

Γενναδίου.

Γεννάδιος ἔφη. ποιήσατε δικαιοσύνης ὅπλον καὶ μὴ θανάτου παίδευσιν.

Γερβασίου

Γερβάσιος εἶπεν, οὐκ ἔστιν ἄλλην κακίας γένεσιν ἐννοῆσαι ἢ ἀρετῆς ἀπουσίαν.

Γερμανοῦ.

Γερμανὸς ἔφη. οὐχ ὑπομένει τὸ σκότος τὴν τοῦ φωτὸς παρουσίαν, οὐ νόσος ὑγιείας ἐπιλαβούσης ἵσταται οὐκ ἐνεργεῖ τὰ πάθη τῆς ἀπαθείας παρούσης.

Γεροντίου.

Γερόντιος ἔφη. ἐλευθέραν εἶναι προσήκει παντὸς φόβου τὴν ἀρετὴν καὶ ἀδέσποτον.

Γρηγορίου τοῦ θεολόγου.

Γρηγόριος ὁ θεολόγος φησί. ποιεῖ γὰρ περιβοήτους οὐ δεξιὰ πράξις μόνον ἀλλὰ καὶ κακία νικῶσα πονηρῶν εὐδοκίμησιν.

Τοῦ αὐτοῦ.

120 Ὁ αὐτὸς εἶπεν. ὁ γὰρ τὸ τοῦ ὄφεως φρόνιμον περὶ τὸ κακὸν τῷ τῆς περιστερᾶς ἀκεραίῳ περὶ τὸ καλὸν συναμίξας, οὔτε τὸ φρόνιμον ἐάσει κακοῦργον γενέσθαι, οὔτε τὸ ἁπλοῦν ἀνόητον.

Τοῦ αὐτοῦ.

Γρηγόριος ὁ θεολόγος ἔφη ἀεὶ προτίμα τοὺς κα-

λοὺς

λους τῶν μὴ καλῶν. κακοῖς δ' ὁμιλῶν κακὸς πάντως ἔσῃ, κακοῦ παρ' ἀνδρὸς μὴ ποτε χρηστὸν πάθῃς. ζητεῖ γὰρ ὧν βεβίωκε συγκνώμην ἔχειν. ἔχθρας ὅρους γίνωσκε, φιλίας δὲ μή.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς τὸ ποιεῖν εὖ, τοῦ πάσχειν τιμιώτερον, καὶ ρισπουδαστότερον κέρδους ἔλεγε.



Τοῦ αὐτοῦ.

Οὐ γὰρ ὁ ἐν λόγῳ σοφὸς οὗτος ἐμοὶ σοφός. οὐδ' ὅσις γλῶσσαν εὔστροφον ἔχοι, ψυχὴν δὲ ἄστατον καὶ ἀπαίδευτον. ἀλλ' ὅσις ὀλίγα μὲν ἀρετῆς φθέγγεται. πολλὰ δὲ οἷς ἐνεργεῖ παραδείκνυσι. καὶ τὸ ἀξιόπιστον τῷ λόγῳ διὰ τοῦ βίου προστίθησιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν. μὴ ἄλλως ἰατρεύειν ἐπιχειρήσωμεν αὐτοὶ βρύοντες ἕλκεσιν.

Γρηγορίου τοῦ νυσσέως.

Γρηγόριος ὁ νυσσεὺς ἔφη. πάσης ὄντως κακίας οἱόντι δέλεαρ ἡ ἡδονή, προβληθεῖσα εὐκόλως τὰς λιχνοτέρας ψυχὰς ἐπὶ τὸ ἄγκιστρον τῆς ἀπολείας ἐφέλκεται.

Τοῦ αὐτοῦ.

Ὥσπερ τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐπνοίας τὸν παρακείμενον ἀέρα ποιεῖ. οὕτως ἀνδρὸς ἀγαθοῦ παρουσία τοὺς πέλας ὀνίνησιν.

Τοῦ αὐτοῦ.

Ὁ τῷ πτωχῷ κοινωνήσας, εἰς τὴν μερίδα τοῦ δι' ἡμᾶς πτωχεύσαντος ἑαυτὸν κατασήσει.

Τοῦ αὐτοῦ.

Ἡ μὲν ἀταξία τῆς ἀναρχίας ἐστὶ γνώρισμα, ἡ δὲ τά-

λ ξις τὸν

ξις τὴν ἡγεμονεύοντα δείκνυσιν.

Τοῦ αὐτοῦ.

Ἅπτεται οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος.

Τοῦ αὐτοῦ.

130 Τὸ καλῶς ἔχειν ὀλίγα πολὺ τιμιώτερον τοῦ κακῶς ἔχειν πολλά.

Τοῦ αὐτοῦ.

Βουλοίμην δ' ἂν ἐγὼ τῶν ἀγαθῶν τι λεγόντων ἀκούειν μᾶλλον ἢ λέγειν αὐτός. τῷ παντὶ γὰρ εὐτυχέστερον ἀμείνοσιν ἐντυγχάνειν ἢ χείροσιν.

Τοῦ αὐτοῦ.

Εὔηχος ἐστὶν ἐκείνη ἡ φωνὴ καὶ μέχρι τῆς θείας ἀναβαίνουσα ἀκοῆς, οὐχὶ μετά τινος διατάσεως γινομένη. ἀλλ' ἡ ἀπὸ καθαρᾶς συνειδήσεως ἀναπεμπομένη ἐνθύμησις.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη. βαρύ τι χρῆμα τὸ χρυσίον ἐστί. κοῦφον δέ τι καὶ ἀνωφερὲς πρᾶγμα ἡ ἀρετή.

Τοῦ αὐτοῦ.

Γρηγόριος ἔφη. μήτε ἀθυμῶν ἀπελπίσῃς εὐημερίαν. μήτε καλῶς πράττων ἀθυμίαν. εἰς ἐνιαυτὸς τέσσαρας ὥρας ἔχει. μία καιροῦ ῥοπὴ πολλὰς πραγμάτων μεταβολάς.

Τοῦ αὐτοῦ.

135 Ὁ αὐτὸς εἶπε. τυφλὸν ὁ θυμὸς καὶ ἐπίλυπον, καὶ μάλιστα ὅταν τὸ δικαίως ἀγανακτεῖν μὴ παρῇ.

Δημάδου.

Δημάδης ἔφη τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμος, τοῖς

δὲ ἐλευ

δὲ ἐλευθέροις νόμος ἀνάγκη.

Δημητρίου τοῦ φαληρέως.

Δημήτριος ὁ φαληρεὺς εἶπε τὸν μὴ δυνάμενον γενναίως φέρειν ἀτυχίαν, μηδὲ εὐτυχίαν ἔφη δύνασθαι.

Δημοκρίτου.

Δημόκριτος ἔφη θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον αὐτοῦ πράττειν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη οἷσιν ὁ τρόπος ἔυτακτος, τουτέοισι καὶ ὁ βίος συντέτακται.

Τοῦ αὐτοῦ.

Φρονήσεως ἔργον, μέλλουσιν ἀδικίην φυλάξασθαι. ἀναλγησίην δὲ γινομένης καὶ ἀμύνασθαι.

Τοῦ αὐτοῦ.

Ἔνιοι πολέμου μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσι.

Τοῦ αὐτοῦ.

Δημόκριτος ἔφη ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἀνδρὶ ἐσχάτη.

Τοῦ αὐτοῦ.

Πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.

Τοῦ αὐτοῦ.

Τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐτάρκεα δὲ σωφροσύνη.

Τοῦ αὐτοῦ.

Μὴ ταχὺ ἐπὶ σεαυτῷ μέγα φρονήσῃς. πολλὰ γὰρ λανθάνομεν ἑαυτοὺς οὐ δεδαμακότες τὴν ἐπιθυμίαν ἀλλ' ὑπ' αὐτῆς μᾶλλον ἐνοχλούμενοι.

Τοῦ αὐτοῦ.

Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι δεῖ.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων.

Τοῦ αὐτοῦ.

Δημόκριτος εἶπε, ξένοις μεταδίδου καὶ τοῖς δεομένοις ἐκ τῶν ἐνόντων, ὁ γὰρ διδοὺς δεομένῳ οὐδ᾽ αὐτὸς λήψεται δεόμενος.

Τοῦ αὐτοῦ.

Δημόκριτος ἔφη αἱ μικραὶ χάριτες ἐν καιρῷ μέγισαι εἰσὶ τοῖς λαμβάνουσι ταύτας ἐν περισάσει.

Τοῦ αὐτοῦ.

150 Μικρὰ διδόναι βούλου μᾶλλον ἢ μεγάλα ἐγγυᾶν. ὅτι γὰρ κίνδυνος ἄπεστι. καὶ ὁ λαβὼν ἔργου, οὐ λόγου χρείαν ἔχει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν ᾧ τινι τὴν χάριν καταθεὶς, θᾶττον τὴν χάριν δίδου. ἡ γὰρ βραδυτὴς, λυμαίνεται τὴν δόσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς κρεῖσσον τοῦ λέγειν τὸ πράττειν ἔφη.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἰδὼν τινὰ προχείρως πᾶσι χαριζόμενον, καὶ ἀνεξετάσως ὑπηρετούμενον, κακῶς ἀπόλοιο, ὅτι τὰς χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας.

Τοῦ αὐτοῦ,

Ὁ αὐτὸς εἶπε δυνάμενος χαρίζεσθαι μὴ βράδυνε, ἀλλὰ δίδου, ἐπισάμενος μὴ εἶναι τὰ πράγματα μόνιμα.

Τοῦ αὐτοῦ.

155 Δημόκριτος εἶπε πονηρὰ φύσις ἐξουσίας ἐπιλαμβανο/

βανόμενη δημοσίας ἀπεργάζεται συμφοράς.

ΤΟΥ ΑΥΤΟΥ.

Δημόκριτος εἶπε διηνεκὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυμία, μὴ κτηθεῖσα μὲν γὰρ τρύχει. κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν, ἀποκτηθεῖσα δὲ ταῖς λύπαις.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς ἔλεγε οὐχ ὁ πλουτῶν. ἀλλ᾽ ὁ μὴ χρήζων πλούτου μακάριος.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς ἔφη εἰ μὴ πολλῶν ἐπιθυμεῖς, τὰ ὀλίγα πολλὰ δοξάσεις. μικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθενῆ πλούτου ποιήσει.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς ἐρωτηθείς, πῶς ἄν τις γένηται πλούσιος, ἔφη ἐὰν τῶν ἐπιθυμιῶν ἔσαι πένης.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς εἴρηκε τὰ μέγιστα τῶν κακῶν οἱ πένητες ἐκπεφεύγασιν. ἐπιβουλήν. φθόνον, καὶ μῖσος. οἷς οἱ πλούσιοι καθ᾽ ἡμέραν συνοικοῦσιν. 150

ΤΟΥ ΑΥΤΟΥ.

Δημόκριτος ἔφη. αὐταρκείη τροφῆς μικρὰ νὺξ οὐ γίνεται οὐδέποτε.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς εἶπεν ἐν μὲν τοῖς ἐσόπτροις. ὁ τῆς ὄψεως ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ λόγος ὥσπερ πλάστης ἀγαθός, τῇ ψυχῇ περιτίθησι σχήματα.

ΤΟΥ ΑΥΤΟΥ.

Αἱ μὲν χελιδόνες εὐδείαν ἡμῖν προσημαίνουσιν. οἱ

δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Δημόκριτος τὴν μὲν ῥίζαν τῆς παιδείας ἔφη εἶναι πικρὰν, τοὺς δὲ καρποὺς γλυκεῖς.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς ἔφη. ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς ἔφη τὴν παιδείας ὥσπερ χρυσοῦ, τὸ καλὸν ἐν παντὶ τόπῳ τίμιον.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς θεασάμενός τινα πολλὰ ἀπαίδευτον ὁμιλοῦντα εἶπε. διαλέγεσθαί μοι δοκεῖ δυνατὸς, ἀλλὰ σιωπᾶν ἀδύνατος.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς χρήματα μὲν πορίζειν, οὐκ ἄχρεον ἐξ ἀδικίας δὲ πάντων μακρὸν κάκιον.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς ἔλεγε, κρεῖσσον τὰ οἰκεῖα ἐλέγχειν ἁμαρτήματα, ἢ τὰ ἀλλότρια.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Δημόκριτος εἶπε παῖδας μὲν ὄντας ἡμᾶς οἱ γονεῖς παιδαγωγῷ παρέδοσαν ἐπιβλέποντι πανταχῆ περὶ τὸ μὴ βλάπτεσθαι. ἄνδρας δὲ γενομένους, ὁ θεὸς παραδίδωσι τῇ ἐμφύτῳ συνειδήσει φυλάττειν. ταύτης οὖν τῆς φυλακῆς μηδαμοῦ καταφρονητέον. ἐπεὶ καὶ τῷ θεῷ ἀπάρεστοι καὶ τῷ ἰδίῳ συνειδότι ὑπεύθυνοι καθιστάμεθα.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς

Ὁ αὐτὸς ἔλεγεν, οἱ ἀπαίδευτοι καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες ἑλκόμενοι σιγῶσιν.

Δημοσθένους.

Δημοσθένης λοιδορούμενος ὑπὸ ἀσώτου εἶπεν, ᾧ οὐδέν ἐστιν ἱκανόν, τούτῳ οὐδὲ εἰπεῖν αἰσχρὸν οὐδέν ἐστιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρομένου τινὸς αὐτὸν πρεσβύτην ὄντα εἰ ἔτι γυναικὶ χρῆται, εὐφήμει ἔφη, ἐπὶ τούτῳ γὰρ τῷ γήρᾳ πλείστην ἔχω χάριν, ὅτι με ἐξελύσατο τῶν τοιούτων ἐπιθυμιῶν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἰρήκει, ὥσπερ οἰκίας οἶμαι καὶ πλοίου καὶ 17
τῶν ἄλλων τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις, ἀληθεῖς καὶ δικαίας.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.

Τοῦ αὐτοῦ.

Δημοσθένης ὀνειδιζόμενος, ὅτι πονηροῖς συνδιατρίβει, ἐκεῖνος ἔφη ἄριστος ἰατρός ἐστιν, ὃς τοὺς ὑπὸ πάντων ἀπεγνωσμένους ἀναλαμβάνει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν, ὅτι τὸ πᾶσιν ἀρέσον δυσχερέστατόν ἐστιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, ὥσπερ ὁ οἶνος κιρνᾶται τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ φίλος τοῖς τῶν χρωμένων ἤθεσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, δίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν 18
ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας.

Τοῦ αὐτοῦ.

Ο αὐτὸς ἐγκαλούντων αὐτῷ τινῶν φίλων, ὅτι πονηρῷ τινὶ κρινομένῳ συνεῖπε. τοὺς χρηστοὺς ἔφη μὴ δεῖσθαι βοηθείας.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν. ἡ μάχαιρα μὲν τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη τὸν κόλακα τούτῳ διαφέρειν τοῦ κόρακος ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς θεασάμενός τινα ἐκφερόμενον φιλάργυρον ἔφη, οὗτος βίον ἀβίωτον βιώσας, ἑτέροις βίον κατέλιπεν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς πυνθανομένου τινός, πῶς ἄν τις ἑαυτοῦ διδάσκαλος γένηται ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις ἔφη καὶ ἑαυτῷ ἐπιτιμῶν μάλιστα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς λέγοντος αὐτῷ τινος ὅτι τοῦ ἀγροῦ ἀμελεῖς ἑαυτοῦ δὲ σχολάζεις εἶπε. τούτου ἐπιμελοῦμαι δι' οὗ καὶ τὸν ἀγρὸν ἐκτησάμην.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ποτὲ πρεσβεύων ὑπὲρ Ἀθηναίων πρὸς Φίλιππον καὶ παρρησίᾳ διαλεγόμενος, ὁ Φίλιππος, οὐ φοβῇ μὴ τὴν κεφαλήν σου προστάξω ἀφαιρεθῆναι; φη-

σὶν οὔ

σὶν οὐ. ἐὰν γὰρ σύ μοι ταύτην ἀφέλῃς, ἢ παξὶς μου αὐ/ τὴν ἀθάνατον ἀναθήσει,

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

ὁ αὐτὸς ἔφη. δεῖ τοὺς πόνους διώκειν. ἀφ᾽ ὧν τὰ μεγά λα καὶ λαμπρὰ γίνεται τοῖς ἀνθρώποις.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

ὁ αὐτὸς ἐρωτηθεὶς ὑπότινος, πῶς δὴ ῥητορικῆς περὶ γένετο ἔφη. πλέον ἔλαιον ἤπερ οἶνον συνδεδαπάνηκα.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

ὁ αὐτὸς ἐν συμποσίῳ τινὶ πρὸς τὸν πολλὰ λαλοῦν/ τα, ἔφη εἰ τοσαῦτα ἐφρόνεις, οὐκ ἂν τοσαῦτα ἐλάλεις.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς ἐρωτηθεὶς διατί μίαν γλῶτταν ἔχομεν, ὦ· τα δὲ δύο. εἶπεν. ὅτι διπλάσιον δεῖ ἀκούειν τοῦ λέγειν.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς εἶπεν, οὐ τοσοῦτον ὁ λόγος, ὅσον χρηστὸς τρό/ πος δυνάμενος.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Δημοσθένης ὁ ῥήτωρ ἔφη πόλεως εἶναι ψυχὴν τοὺς νόμους ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕ/ τω καὶ πόλιν μὴ ὄντων νόμων καταλύεσθαι.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

ὁ αὐτὸς ἐρωτηθεὶς ὑπότινος τί περιποιεῖ ἡ ῥητορι/ κὴ τοῖς μανθάνουσιν, εἶπεν. ἀνδρ᾽ ἐπαμύνασθαι ὅτι τίς πρότερον χαλεπήνῃ.

ΔΗΜΏΝΑΚΤΟΣ.

Δημῶναξ ἔφη τοσοῦτον εἰς ἀρετὴν προσθήσεις, ὅσον ἂν ἀφέλῃς τῶν ἡδονῶν.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι.

τοῦ αὐτοῦ.

Δημώναξ ἄλλων ἐξεταζόντων εἰ ὁ κόσμος ἐκφρόνως ἔμψυχος καὶ σφαιροειδής. ὑμεῖς εἶπε περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε. περὶ δὲ τῆς σαυτῶν ἀκοσμίας οὐ φροντίζετε.

τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν τοῖς ὠσὶ πλέον ἢ τῇ γλώττῃ χρῶ.

Διαγόρα.

Διαγόρας ποτὲ πλέων καὶ κινδυνεύων, τῶν οὖν συμπλεόντων λεγόντων, ὅτι δι' αὐτὸν ἀπόλλυνται, δείξας αὐτοῖς ἕτερα πλοῖα ἐπίσης χειμαζόμενα, ἔφη μὴ κἀκεῖ Διαγόρας;

τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ληφθεὶς ὑπὸ ἀθηναίων, καὶ μελλων ὑπ' αὐτῶν ἐπὶ θανάτῳ ἄγεσθαι, ἐπεὶ τοὺς θεοὺς μὴ ὀνομάζειν, ἀνατείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἔφη. ὦ θεοὶ εἰ ἐστὲ θεοὶ σώσατέ με.

Διδύμου.

Δίδυμος τὸ εἰδέναι τινὰ ὅτι ἀγνοεῖ σοφίας ἐστὶν εἶπεν. ὡς καὶ τὸ εἰδέναι ὅτι ἠδίκησε δικαιοσύνης.

Διογένους.

Διογένης εἰπόντος τινὸς τί μάλιστα γηράσκει παρ' ἀνθρώποις; εἶπε χάρις.

τοῦ αὐτοῦ.

Διογένης θεασάμενος νεανίσκον οἰήματος πλήθους ὄντα ἢν δὲ αὐληΐδος, εἶπε. νεανίσκε. μεῖζον ἔχεις τὸ φύσημα τοῦ μήκους.

τοῦ αὐτοῦ.

Διογένης ὁ κύων ἔφη. οὐκ ἔστιν κυνὸς ἀντάξιος οὐδ᾿ ὅπ δεινὸς ἀνὴρ καὶ ἄναλκις ὑπὸ πλούτου καὶ μαλακίας διεφθαρκώς.

ΤΟΥ ἈΥΤΟΥ.

Ὁ αὐτὸς θεασάμενος δημοσθένην ἐν καπηλείῳ αἰσχυνόμενον καὶ ὑποχωροῦντα εἶπεν. ὅσον μᾶλλον ὑποχωρεῖς τοσοῦτον μᾶλλον ἐν τῷ καπηλείῳ ὑπάρχεις.

ΤΟΥ ἈΥΤΟΥ.

Ὁ αὐτὸς θεασάμενος μειράκιον μεμυρισμένον εἶπεν. ἢ περὶ τῆς κεφαλῆς σου μυρωδία καὶ εὐωδία δυσωδίαν σου τοῦ βίου ἐμποιεῖ.

ΤΟΥ ἈΥΤΟΥ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος διατί κύων καλεῖται, εἶπε. διότι τοὺς μὴ δόντας ὑλακτῶ. τοὺς δὲ διδόντας σαίνω. τοὺς δὲ πονηροὺς διώκω.

ΤΟΥ ἈΥΤΟΥ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος διὰ τίνα αἰτίαν ἀνθρώποις τοῖς μὴ προσαιτοῦσι διδόασι τοῖς δὲ φιλοσόφοις οὐ. πάνυ τι εἶπεν. ὅτι χωλοὶ μὲν ἴσως καὶ τυφλοὶ ἐλπίζουσι γενέσθαι. φιλόσοφοι δέ, οὔ.

ΤΟΥ ἈΥΤΟΥ.

Διογένης ὀνειδίσαντος αὐτόν τινος ὡς εἰς ἀκαθάρτους τόπους εἰσέρχεται, ἔφη καὶ ὁ ἥλιος, ἀλλ᾿ οὐ μιαίνεται.

ΤΟΥ ἈΥΤΟΥ.

Διογένης δεινὸν ἔλεγεν εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς κρατοῦσι καὶ ἡδονῶν. οἱ μὲν τῆς φωνῆς χάριν, οἱ δὲ τοῦ σώματος. σωφροσύνης δὲ ἕνεκα πῶς τούτων οὐ καταφρονήσωμεν.

ΤΟΥ ἈΥΤΟΥ.

Διογένης

Διογένης ἐρωτηθεὶς, πῶς ἄντις πολιτεύοιτο ἔφη. καθάπερ πυρὶ μήτε λίαν ἐγγὺς εἶναι, μήτε πόῤῥω. ἵνα μὴ ῥιγῶσιν.

ΤΟΥ ΑΥΤΟΥ.

Διογένης λοιδορούμενος ὑπό τινος φαλακροῦ εἶπεν σὲ μὲν οὐχ ὑβρίζω. τὰς δὲ τρίχας σου ἐπαινῶ ὅτι κακοῦ κρανίου ἐξέφυγον.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς τινὸς προδότου κακῶς αὐτῷ λέγοντος ἔφη χαίρω ἐχθρὸς σου γενόμενος. σὺ γὰρ οὐ τοὺς ἐχθροὺς ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς.

ΤΟΥ ΑΥΤΟΥ.

Διογένης ἐπὶ τῆς κολακίας ἔφη. ὥσπερ ἐπὶ μνήματος αὐτοῦ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα βλάπτει ἔφη τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς ἐρωτηθεὶς τί γῆ βαρὺ βαστάζει, ἔφη ἄνθρωπον ἀπαίδευτον.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς ἰδὼν τοὺς ἀναξιμένους οἰκέτας πολλὰ σκεύη παραφέροντας, ἤρετο. τίνος ταῦτα. τῶν δὲ εἰπόντων ἀναξιμένους, ἔφη. οὐ αἰδεῖται ταῦτα ἔχων ἅπαντα, αὐτός. ἑαυτὸν μὴ ἔχων.

ΤΟΥ ΑΥΤΟΥ.

Διογένης ἔφη τοὺς ῥήτορας δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς.

ΤΟΥ ΑΥΤΟΥ.

Ὁ αὐτὸς

Ὁ αὐτὸς εἶπε. νεκρὸν ἰατρεύειν καὶ γέροντα νουθετεῖν ταυτόν ἐστιν.

Τοῦ αὐτοῦ.

Διογένης ἐρωτηθεὶς ποῖα θηρία εἴη χαλεπώτερα εἶπεν. ἐν μὲν τοῖς ὄρεσιν, ἄρκτοι καὶ λέοντες. ἐν δὲ ταῖς πόλεσι, τελῶναι καὶ συκοφάνται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη ὥσπερ ἄλειμμα οὐ τὸ ἡδὺ καλόν, οὐδὲ τὸ πικρὸν ἀλλὰ τὸ ὑγιεινόν. οὕτω καὶ τροφὴ οὐχ ἡδεῖα καλὴ οὐδ' ἡ πολλή, ἀλλ' ἡ ὑγιεινή.

Τοῦ αὐτοῦ,

Ὁ αὐτὸς ἐν συμποσίῳ τινὶ πολλοῦ οἴνου αὐτῷ διδομένου τοῦτον ἐξέχεε ἐπεὶ δέ τινες αὐτῷ ἐμέμφοντο, ἔφη ἐὰν γὰρ αὐτὸν ἐκπίω, οὐ μόνον αὐτὸς ἀπολοῦμαι, ἀλλὰ κἀμὲ προσαπολοῦσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς μειράκιον ἐκστατικὸν ἰδὼν καὶ περιφρονοῦν, ἔφη, νεανίσκε ὁ πατὴρ μεθύων σὲ ἔσπειρε.

Τοῦ αὐτοῦ.

Διογένης προσελθόντος τινὶ μειρακίῳ καταβεβρωκότι τὰ πατρῷα, ᾔτει αὐτὸν δέκα δραχμὰς δέκα τιμὴν εἶπεν. ὅτι παρὰ μὲν τῶν ἄλλων ἐλπίζω λήψεσθαι πολλάκις. παρὰ δὲ σοῦ οὐκ ἔτι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἡμέρας οὔσης ποτὲ λύχνον ἅψας περιῄει τὴν ἀγορὰν πυνθανομένων δὲ τινῶν πρὸς τί τοῦτο ποιεῖ; ἔλεγεν ἄνθρωπον ζητεῖν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς τῶν ἀνθρώπων ἔφη, ἐνίους τὰ δέοντα λέγοντας

ἑαυτοῦ

ἑαυτοῦ οὐκ ἀκούειν. ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας οὐκ αἰσθάνεται.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς ὀδυρομένου τινὸς ὅτι ἐπὶ ξένης ἔμελλε τελευτᾶν, ἔφη. τί ὀδύνη ὦ μάταιε πανταχόθεν γὰρ ἡ αὐτὴ ὁδὸς εἰς ἅδην.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς κοινολογουμένας γυναῖκας θεασάμενος ἔφη. ἀσπὶς παρ᾽ ἐχίδνοις φάρμακον δανείζεται.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς ἐρωτηθεὶς τί νομίζει τὸ γῆρας εἶναι, ἀπεκρίνατο τοῦ ζῆν χειμῶνα.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς ἰδὼν γραῦν καλλοπιζομένην εἶπεν. εἰ μὲν πρὸς τοὺς ζῶντας πεπλάνησο. εἰ δὲ πρὸς νεκροὺς μὴ βράδυνε.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ὁ αὐτὸς ἔφη εἰ μὲν ἦν μαθεῖν ἃ δεῖ παθεῖν, καὶ μὴ παθεῖν, καλὸν τὸ μαθεῖν. εἰ δὲ παθεῖν δεῖ τί δεῖ μαθεῖν, παθεῖν γὰρ χρή.

ΔΙΟΝΥΣΊΟΥ ΤΟΥ͂ ΠΡΕΣΒΥΤΈΡΟΥ.

Διονύσιος ὁ πρεσβύτερος ἐρωτηθεὶς τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ ἔφη, τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

ΔΊΩΝΟΣ ΤΟΥ͂ ΦΙΛΟΣΌΦΟΥ.

Δίων ὁ φιλόσοφος ἰδὼν τινὸς αὐτῷ συνισάνοντος καὶ περὶ μισθοῦ διαλεγομένου καὶ τρεῖς χιλίας δραχμὰς αἰτοῦντος, τοῦ δὲ εἰπόντος ὡς ἄμεινον ἀνδράποδον πριάσθαι. νὴ δία ἔφη κἀγὼ συναινῶ. ἕξεις γὰρ ἀνθ᾽ ἑνὸς δύο ἀνδράποδα. ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Δίων ὁ ῥωμαῖος ἔφη. ἀδύνατον ἐστὶ τὰ ἐναντία τινὰ τοῖς οὐκ ὀρθῶς ἔχουσι πράττοντα, καὶ ἀγαθοῦ τινὸς ἀπ' αὐτῶν ἀπολαῦσαι.

Τοῦ αὐτοῦ.

Δίων ὁ χρυσόστομος εἴρηκεν. ὅσῳ δ' ἄν τις τοὺς φίλους ἰσχυροτέρους ποιοῖ, οὗτος ἰσχυρότερος γίνεται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπε ῥᾷον ἄν τις συμφορὰν τὴν χαλεπωτάτην φέροι μετὰ φίλων, ἢ μόνος εὐτυχίαν τὴν μεγίστην.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη. ὁ τοῖς φίλοις χαριζόμενος, ἥδεται διδοὺς ἅμα δὲ ὡς αὐτὸς κτώμενος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν. δεῖ τὸν ἑταίρων μέλλοντα ἄρξειν αὐτὸν ἑαυτοῦ πρῶτον ἄρχειν.

Τοῦ αὐτοῦ.

Δίων καταγελάστους εἶναι ἔλεγεν τοὺς σπουδάζοντας περὶ τὸν πλοῦτον. ὃν τύχη μὲν παρέχει. ἀνελευθερία δὲ φυλάττει. χρηστότης δὲ ἀφαιρεῖται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα μὴ βλάπτουσα τὸν ζηλούμενον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη. οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον, καθ' ἰδίαν ἐξουσίαν, εἰ μὴ ἕτερος ἕτερον λυμαίνατο, φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς φθόνον εἶπεν, ἕλκος εἶναι τῆς ἀληθείας.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἰδὼν τινὰ φθονερὸν σφόδρα κεκυφότα, εἶ-

πεν

περ ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος πότερον οἱ ζῶντες πλείους εἰσὶν ἢ τεθνηκότες. τοὺς μὲν ἔφη εὐχερέστερον ἐστὶν εὑρεῖν, διαπορεῖν δὲ τοὺς πλέοντας ἐν ποτέροις θείην.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπε, δικαίως μεμηχανῆσθαι τὴν φύσιν, ἡμῖν δύο μὲν ὦτα, μίαν δὲ γλῶσσαν ἵνα ἀκούσωμεν πλείονα ἢ λαλῶμεν.

Ἐμπεδοκλέους.

Ἐμπεδοκλῆς ἐρωτηθεὶς διὰ τί σφόδρα ἀγανακτεῖ κακῶς ἀκούων, ἔφη. οὐδὲ ἐπαινούμενος ἥσθήσομαι, εἰ μὴ κακῶς ἀκούων ἀχθήσομαι,

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς πρὸς τὸν λέγοντα ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι κατὰ λόγον, εἶπε. τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν.

Ἐπικούρου.

Ἐπίκουρος εἰ ταῖς τῶν ἀνθρώπων εὐχαῖς ὁ θεὸς κατηκολούθει, ἔφη θᾶττον ἂν ἀπώλλυντο πάντες ἄνθρωποι συνεχῶς πολλὰ, καὶ χαλεπὰ κατ' ἀλλήλων εὐχόμενοι.

Τοῦ αὐτοῦ.

Ἐπίκουρος. ἔφη μὴ φεῦγε μικρὰ χαρίζεσθαι. δόξεις γὰρ καὶ πρὸς τὰ μεγάλα τοιοῦτο εἶναι.

Τοῦ αὐτοῦ.

Ἐπίκουρος εἶπεν οὐ προσποιεῖσθαι φιλοσοφεῖν, ἀλλ' ὄντως φιλοσοφεῖν. οὐ γὰρ προσδεόμεθα τοῦ δοκεῖν

Εὐκλείδης ὁ φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος ὁποῖοι τινές εἰσιν οἱ θεοί, καὶ τίνι χαίρουσι. τὰ μὲν ἄλλα οὐκ οἶδα ἔφη. τοὺς μέν τοι φιλοπράγμονας ὅτι μισοῦσι ἀσφαλῶς οἶδα.

Εὐκρίτου.

Εὔκριτος ὁ χῖος ἐρωτηθεὶς ὑπό τινος πότερον ἂν θέλοι γενέσθαι κροῖσος ἢ σωκράτης ἔφη. ζῶν μὲν κροῖσος, ἀποθανὼν δὲ σωκράτης.

Εὐπόλεως.

Εὔπολις ὁ τῶν κωμῳδιῶν ποιητὴς πυνθανόμενος ὅτι ἀλκιβιάδης τὰς τῶν πολιτῶν γυναῖκας μοιχεύοι, ἔφη ἀλκιβιάδης μὴ ὢν ἀνήρ, πολλῶν γυναικῶν ἐστὶν ἀνήρ.

Εὐριπίδου.

Εὐριπίδης ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐπειδὴ ὀψωνοῦντος αὐτοῦ ἐπελάβετό τις λέγων, ὅτι σοφοκλῆς τοῦτο διὰ δούλου ποιεῖ. ἔφη, τοιγαροῦν ὁ σοφοκλῆς ἐσθίει ὄψον ὁποῖον ἂν αὐτῷ τῷ οἰκέτῃ ἀρέσκῃ. ἐγὼ δὲ ὁποῖον ἂν ἐμοί.

Τοῦ αὐτοῦ.

Εὐριπίδης εἶπεν οὔτε λείψανα τῶν ἀγαθῶν ἀνδρῶν ἀφαιρεῖται χρόνος. ὧν δ' ἀρετῇ καὶ θανοῦσι λάμπει.

Εὐσεβείου.

Εὐσέβειος εἶπεν οἱ μάταιοι τῶν ἀνθρώπων, τοὺς μὲν μεγάλα χρήματα ἔχοντας καὶ φαύλους ὄντας τιμῶσί τε καὶ θαυμάζουσι. τῶν δὲ σπουδαίων, ἐπειδὰν ἀχρηματίαν καταγνῶσιν ὑπερφρονοῦσι.

Θαλοῦ τοῦ μιλησίου.

Θαλῆς ὁ μιλήσιος ἐρωτηθεὶς ὑπό τινος τί ἐστιν ἀγαθὸν καὶ κακὸν εἶπεν ἡ γλῶττα.

Θεανοῦς.

Θεανὼ ἡ πυθαγορικὴ φιλόσοφος ὀργισθεῖσά ποτε ἰδίᾳ θεραπαίνῃ ἔφη ἐμαστίγωσα ἂν εἰ μὴ ἐθυμούμην.

Θεμιστοκλέους.

Θεμιστοκλῆς ὁ τῶν ἀθηναίων στρατηγὸς θεασαμένου τινὸς αὐτὸν νύκτωρ περιπατοῦντα, καὶ ἐρωτήσαντος τί δὴ μόνος ἀθηναίων ἐγρήγορεν, ὅτι ἔφη οὐκ ἐᾷ με τὰ μιλτιάδου τρόπαια καθεύδειν.

Τοῦ αὐτοῦ.

Θεμιστοκλῆς χωρίον πωλῶν ἐκέλευσε κηρύττειν ὅτι καὶ γείτονα χρηστὸν ἔχει.

Θεοκρίτου.

Θεόκριτος ὁ χῖος παραγενόμενός ποτ᾽ εἰς ῥόδον, καὶ θεασάμενος τοὺς ῥοδίους τὰς μὲν οἰκίας λιθίνας ἔχοντας καὶ κατασκευάζοντας, ὀψωνοῦντας δὲ λυσιτελῶς ἔφη, ῥόδιοι οἰκονομοῦσι μὲν ὡς ἅπαντα βιωσόμενοι τὸν αἰῶνα, ὀψωνοῦσι δὲ ὡς αὔριον ἀποθανούμενοι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐλθὼν εἰς τὸ βυζάντιον καὶ εὑρὼν αὐτοὺς πολλὰ λαλοῦντας, εὐλόγως ἔφη ὑμεῖς ἐπὶ τοῦ στόματος οἰκεῖτε.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιουμένου, καὶ ἐρωτώμενος ὑπ᾽ αὐτοῦ ποῖα ἐστὶν ἃ καλῶς εἴρηκε. ἔφη ἃ παρέλιπες.

Θεοπέμπτου.

Θεόπεμπτος ἔφη μήτε αἴτιον κακοῦ τὸν θεὸν ὑπολάμβανε μήτε χωρὶς αὐτοῦ δυσυχεῖν ἡμᾶς νόμιζε.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς

ὁ αὐτὸς εὐγενεῖς εἶναι νόμιζε ἔλεγεν μὴ τοὺς ἐκ τῶν καλῶν καὶ ἀγαθῶν γεγενημένους. ἀλλὰ τὰ καλὰ καὶ ἀγαθὰ προαιρουμένους.

Θεοφυλάκτου.

Θεοφύλακτος ἐπίπλαστος ἔπαινος ἀτιμότερος ψόγου ἔφησε.

τοῦ αὐτοῦ.

Οἱ αὐτοὶ ἃ λόγοις ἁμαρτάνομεν ἔργοις τὴν τιμωρίαν ὑφέξομεν.

Θουκυδίδου.

Θουκυδίδης εἶπε γενναίων γὰρ ἀνδρῶν πᾶσα γῆ τάφος.

Θεοφράστου.

Θεόφραστος ἔφη τοὺς μοχθηροὺς τῶν ἀνθρώπων οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς. 245

Ἰσοκράτους.

Ἰσοκράτης ὁ ῥήτωρ θεασάμενος τινὰ τῶν μαθητῶν τοῦ μὲν ἀγροῦ ἐπιμελούμενον τῆς δὲ πράξεως ἀμελοῦντα. ὅρα φησὶ ὦ οὗτος μὴ τὸν ἀγρὸν ἐξημερῶσαι βουλόμενος τὴν ψυχὴν ἀγριώσῃς.

τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἀντιγόνου αὐτῷ τοῦ βασιλέος ἀπειλήσαντος θάνατον. ἠγνόουν ἔφη ὦ βασιλεῦ κωνείῳ σε τὸ αὐτὸ δύνασθαι.

τοῦ αὐτοῦ.

Βούλου τὰς τῆς ἀρετῆς εἰκόνας ὑπομνήματα μᾶλλον ἔλεγεν ἢ τοῦ σώματος καταλιπεῖν.

τοῦ αὐτοῦ.

Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν

τὰ τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ τα-
χίστην ἔχει τὴν διάγνωσιν.

Τοῦ αὐτοῦ.

Ὁ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων, οὐδέ ποτε κα-
λῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

Ἰωάννου τοῦ κλίμακος.

Ἰωάννης ὁ κλίμαξ ἔφη ἐκ συγκρίας κακῶν δεῖ ὑμᾶς
τὸ κουφότερον ἐξελέξασθαι.

Λύκωνος.

Λύκων ὁ σοφὸς τὴν παιδείαν ἔλεγεν ἱερὸν ἄσυλον εἶ-
ναι.

Μενεδήμου.

Μενέδημος νεανίσκου τινὸς εἰπόντος, μέγα ἐστὶν τὸ τυ-
χεῖν ὧν ἄντις ἐπιθυμεῖ. εἶπε πολλῷ μεῖζον ἐστὶ τὸ μὴ
δὲ ἐπιθυμεῖν ὧν μὴ δεῖ.

Σολωμῶνος.

Σολωμὼν εἴρηκε. στολισμὸς γὰρ ἀνδρὸς, βῆμα ποδὸς
καὶ γέλως ὀδόντων ἀναγγελεῖ τὰ ἀνθρώπινα.

Χρυσοστόμου.

155 Οὐκ ἄρα τὸ δοῦναι ἐλεημοσύνην, ἀλλὰ τὸ ὡς χρὴ δοῦ-
ναι καὶ διὰ τοῦτο δοῦναι.

Τοῦ αὐτοῦ.

Ὡς εἴγε μιᾶς ἡμέρας μόνον μετὰ ἀκριβείας τὰ ἁ-
μαρτήματα ἡμῶν ἐλογιζόμεθα, τότε ἂν ἔγνωμεν κα-
λῶς πόσων ἂν εἴημεν ὑπεύθυνοι κακῶν.

Τέλος σὺν θεῷ καὶ μούσαις
τῶν φιλοσόφων γνωμῶν.



ΗΣΙΟΔΟΥ

ΤΟΥ ἈΣΚΡΑΙΟΥ ἜΡΓΑ ΚΑΙ ἩΜΕΡΑΙ.



Μοῦσαι Πιερίηθεν ἀοιδῇσι κλείουσαι.
Δεῦτε δὴ ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι.
Ὅντε δι' ἃ βροτοὶ ἄνδρες ὁμῶς, ἄφατοί τε φατοί τε (ἕκητι.
Ῥητοί τ' ἄρρητοί τε, Διὸς μεγάλοιο
Ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει.
Ῥέα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει,
Ῥέα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει,
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει,
Κλῦθι ἰδὼν ἀΐων τε, δίκῃ δ' ἴθυνε θέμιστας
Τύνη, ἐγὼ δέ κε Πέρσῃ ἐτήτυμα μυθησαίμην.
Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
Εἰσὶ δύω, τὴν μέν κεν ἐπαινήσειε νοήσας,
Ἡ δ' ἐπιμωμητή, διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
Ἡ μὲν γὰρ πόλεμόν τε κακὸν, καὶ δῆριν ὀφέλλει
Σχετλίη, οὔτις τήν γε φιλεῖ βροτὸς, ἀλλ' ὑπ' ἀνάγκης
Ἀθανάτων βουλῇσιν ἔριν τιμῶσι βαρεῖαν
Τὴν δ' ἑτέρην, προτέρην μὲν ἐγείνατο νὺξ ἐρεβεννή.
Θῆκε δέ μιν Κρονίδης ὑψίζυγος αἰθέρι ναίων
Γαίης τ' ἐν ῥίζῃσι, καὶ ἀνδράσι, πολλὸν ἀμείνω.
Ἥ τε καὶ ἀπάλαμόν περ ὁμῶς ἐπὶ ἔργον ἐγείρει.

Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων,
Πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναι, ἠδὲ φυτεύειν.
Οἶκόν τ' εὖ θέσθαι. ζηλοῖ δέ τε γείτονα γείτων
» Εἰς ἄφενον σπεύδοντ', ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι,
» Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων.
» Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.
Ὦ πέρση. σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ.
Μηδέ σ' ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
Νείκε' ὀπιπεύοντ' ἀγορῆς ἐπακουὸν ἐόντα.
Ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε
Ὧτινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
Ὡραῖος, τὸν γαῖα φέρει δημήτερος ἀκτήν.
Τοῦ κε κορεσσάμενος, νείκεα καὶ δῆριν ὀφέλλοις
Κτήμασ' ἐπ' ἀλλοτρίοις. σοὶ δ' οὐκ ἔτι δεύτερον ἔσται
Ὧδ' ἔρδειν. ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
Ἰθείῃσι δίκαις, αἵ τ' ἐκ διός εἰσιν ἄρισται.
Ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθα, ἄλλα τε πολλὰ
Ἁρπάζων ἐφόρεις μέγα κυδαίνων βασιλῆας
Δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δικάσαι.
» Νήπιοι, οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντὸς,
» Οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.
Ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσαιο
Ὥς τε σε κεἰς ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα
Αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
Ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν
Ἀλλὰ ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν
Ὅττι μιν ἐξαπάτησε προμηθεὺς ἀγκυλομήτης.
Τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.

Κρύψε

Κρύψε δὲ πῦρ, τὸ μὲν αὖθις ἐῢς πάϊς Ἰαπετοῖο
Ἔκλεψ' ἀνθρώποισι Διὸς παρὰ μητιόεντος
Ἐν κοίλῳ νάρθηκι λαθὼν Δία τερπικέραυνον.
Τόν τε χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς
Ἰαπετιονίδη πάντων πέρι μήδεα εἰδώς,
Χαίρεις πῦρ κλέψας, καὶ ἐμὰς φρένας ἠπεροπεύσας;
Σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσομένοισι.
Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
Τέρπονται κατὰ θυμόν, ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ' ἐκ δ' ἐγέλασε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἥφαιστον δ' ἐκέλευσε περικλυτόν, ὅττι τάχιστα
Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδήν,
Καὶ σθένος. ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐΐσκειν
Παρθενικαῖς καλὸν εἶδος ἐπήρατον, αὐτὰρ Ἀθήνην
Ἔργα διδασκῆσαι πολυδαίδαλον ἱστὸν ὑφαίνειν,
Καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσῆν Ἀφροδίτην.
Καὶ πόθον ἀργαλέον, καὶ γυιοκόρους μελεδῶνας.
Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε διάκτορον ἀργειφόντην.
Ὣς ἔφατ' οἱ δ' ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι
Αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
Ὅρμους χρυσείους ἔθεσαν χροΐ. ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι.
Πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη
Ἐν δ' ἄρα οἱ στήθεσι διάκτορος ἀργειφόντης
Ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος

τεῦξε Διὸς βουλῇσι βαρυκτύπου, ἐν δ' ἄρα φωνὴν
θῆκε θεῶν κῆρυξ, ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες ὀλύμπια δώματ' ἔχοντες
Δῶρον ἐδώρησαν πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.
Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν
Εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν ἀργειφόντην
Δῶρον ἄγοντα θεῶν ταχὺν ἄγγελον. οὐδ' Ἐπιμηθεὺς
Ἐφράσαθ' ὥς οἱ ἔειπε Προμηθεύς, μή ποτε δῶρον
Δέξασθαι πὰρ Ζηνὸς ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
Ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
Αὐτὰρ ὁ δεξάμενος ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.
Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
Νόσφιν ἄτερ κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο,
Νούσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι γῆρας ἔδωκαν
Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι,
Ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
Ἐσκέδασ', ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά,
Μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισι
Ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
Ἐξέπτη, πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο
Αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο,
Ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται,
Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα,
Νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ, αἱ δ' ἐπὶ νυκτὶ
Αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι
Σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς,
Οὕτως οὔτι που ἔστι Διὸς νόον ἐξαλέασθαι.
Εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
Εὖ καὶ ἐπισταμένως, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,

Ὡς

Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
Ἀθάνατοι ποίησαν ὀλύμπια δώματ' ἔχοντες,
Οἳ μὲν ἐπὶ κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν.
Ὥστε θεοὶ δ' ἔζωον ἀκηδέα θυμὸν ἔχοντες
Νόσφιν ἄτερ τε πόνων καὶ, ὀϊζύος οὐδέ τι δειλὸν
Γῆρας ἐπῆν. αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων.
Θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι, ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην. καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη πολλόν τε καὶ ἄφθονον. οἳ δ' ἐθελημοὶ
Ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσιν.
Αὐτὰρ ἐπεί κεν τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
Τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς,
Ἐσθλοὶ ἐπιχθόνιοι φύλακες θνητῶν ἀνθρώπων,
Οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα
Ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν
Πλουτοδόται. καὶ τοῦτο γέρας βασιλήϊον ἔχον.
Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
Ἀργύρεον ποίησαν, ὀλύμπια δώματ' ἔχοντες,
Χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
Ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
Ἐτρέφετ' ἀτάλλων μέγα νήπιος ᾧ ἐνὶ οἴκῳ.
Ἀλλ' ὅταν ἡβήσειε καὶ ἥβης μέτρον ἵκοιτο,
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον ἄλγε' ἔχοντες
Ἀφραδίαις. ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
Ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
Ἤθελον. οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς
Ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα

Ζεὺς

τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσας
ζεὺς κρονίδης κατένασε πατὴρ ἐς πείρατα γαίης.
καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι, παρ' ὠκεανὸν βαθυδίνην
ὄλβιοι ἥρωες. τοῖσι μελιηδέα καρπὸν
τρὶς τοῦ ἔτους θάλλοντα φέρει ζείδωρος ἄρουρα.
μηκέτ' ἔπειτ' ὤφελον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν. ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον. οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι. χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας
ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος, οὐδέ τι παῖδες
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται ὡς τὸ πάροσπερ.
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας.
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντ' ἐπέεσσι
σχέτλιοι. οὐδὲ θεῶν ὄπιν εἰδότες, οὐδέ μὲν οἵγε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν.
χειροδίκαι. ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
οὔτ' ἀγαθοῦ. μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι. δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς
οὐκ ἔσται. βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισι σκολιοῖς ἐνέπων. ἐπὶ δ' ὅρκον ὀμεῖται.
ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης

καὶ τότε

Καὶ τότε δὴ πρὸς ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
Ἀθανάτων μετὰ φῦλον ἴτην προλιπόντ' ἀνθρώπους,
Αἰδὼς καὶ νέμεσις. τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
Θνητοῖς ἀνθρώποισι. κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.
Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω φρονέουσι καὶ αὐτοῖς.
Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον.
Ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς
Ἣ δ' ἐλεὸν γναμπτοῖσι ~~πεπαρμένη~~ ἀμφ' ὀνύχεσσι,
Μύρετο. τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε.
Δαιμονίη. τί λέλακας; ἔχει νύ σε πολλὸν ἀρείων.
Τῇ δ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν,
Δεῖπνον δ', αἴκ' ἐθέλω, ποιήσομαι ἠὲ μεθήσω.
Ἄφρων δ' ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν.
Νίκης τε στέρεται, πρὸς τ' αἴσχεσιν ἄλγεα πάσχει.
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ τανυσίπτερος ὄρνις.
Ὦ πέρση, σὺ δ' ἄκουε δίκης, μὴδ' ὕβριν ὄφελλε.
Ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ, οὐδὲ μὲν ἐσθλὸς
Ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς,
Ἐγκύρσας ἄτῃσιν. ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
Κρείσσων ἐς τὰ δίκαια. δίκη δ' ὑπὲρ ὕβριος ἴσχει,
Ἐς τέλος ἐξελθοῦσα. παθὼν δέ τε νήπιος ἔγνω.
Αὐτίκα γὰρ τρέχει ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
Τῆς δὲ δίκης ῥόθος ἑλκομένης ᾗ κ' ἄνδρες ἄγωσι
Δωροφάγοι. σκολιῇς δὲ δίκαις κρίνωσι θέμιστας,
Ἣ δ' ἕπεται κλαίουσα πόλιν τε καὶ ἤθεα λαῶν
Ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
Οἵ δε τέ μιν ἐξελάσουσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσι

Ἰθείας

Ἰθείας καὶ μήτι παρεκβαίνουσι δικαίου,
Τοῖσι τέθηλε πόλις. λαοί δ' ἀνθεῦσιν ἐν αὐτῇ,
Εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς
Ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα ζεύς.
Οὐδέ ποτ' ἰθυδίκαισι μέτ' ἀνδράσι λιμὸς ὀπηδεῖ.
Οὐδ' ἄτη, θαλίης δὲ μεμηλότα ἔργα νέμονται.
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον. οὔρεσι δὲ δρῦς
Ἄκρη μέν τε φέρει βαλάνους. μέσση δὲ μελίσσας,
Εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι,
Τίκτουσι δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν.
Θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές, οὐδ' ἐπὶ νηῶν
Νείσσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
Τοῖς δὲ δίκην κρονίδης τεκμαίρεται εὐρύοπα ζεύς.
Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ,
Ὅστις ἀλιτραίνει, καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσι δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα κρονίων,
Λιμὸν ὁμοῦ καὶ λοιμόν. ἀποφθινύθουσι δὲ λαοί.
Οὐ δὲ γυναῖκες τίκτουσιν, μινύθουσι δὲ οἶκοι
Ζηνὸς φραδμοσύνῃσι ὀλυμπίου. ἄλλοτε δ' αὖτε
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
Ἢ νέας ἐν πόντῳ κρονίδης ἀποτίνυται αὐτῶν,
Ὦ βασιλεῖς. ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
Τήνδε δίκην. ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
Ἀθάνατοι λεύσσουσιν, ὅσοι σκολιῇσι δίκῃσι
Ἀλλήλους τρίβουσι θεῶν ὄπιν οὐκ ἀλέγοντες.
Τρὶς γὰρ μύριοι εἰσὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ἀθάνατοι ζηνὸς φύλακες θνητῶν ἀνθρώπων
Οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα
Ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν,

Ἡ δέ τε παρθένος ἐστὶ δίκη διὸς ἐκγεγαυῖα,
Κυδνή τ' αἰδοίη τε θεοῖς. οἳ ὄλυμπον ἔχουσιν
Καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων
Αὐτίκα πὰρ διῒ πατρὶ καθεζομένη κρονίωνι,
Γηρύετ' ἀνθρώπων ἄδικον νόον ὄφρ' ἀποτίσῃ
Δῆμος ἀτασθαλίας βασιλήων. οἳ λυγρὰ νοεῦντες
Ἄλλῃ παρ κλίνουσι δίκας σκολιῶς ἐνέποντες.
Ταῦτα φυλασσόμενοι βασιλῆες ἰθύνετε μύθους
Δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπιπάγχυ λάθεσθε.
" Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ τεύχων.
" Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
Πάντα ἰδὼν διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας,
" Καί νυ τάδ' αἴκ' ἐθέλῃσ' ἐπιδέρκεται. οὐδέ ἑ λήθει.
" Οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
Νῦν δ' ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
Εἴην μήτ' ἐμὸς υἱός. ἐπεὶ κακὸν ἄνδρα δίκαιον
Ἔμμεναι. εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
Ἀλλὰ τά γ' οὔπω ἔολπα τελεῖν δία τερπικέραυνον.
Ὦ πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσιν
Καί νυ δίκης ἐπάκουε, βίης δ' ἐπιλήθεο πάμπαν
Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε κρονίων.
Ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς
Ἔσθειν ἀλλήλους. ἐπεὶ οὐ δίκη ἐστὶν ἐπ' αὐτοῖς.
Ἀνθρώποισι δ' ἔδωκε δίκην. ἣ πολλὸν ἀρίστη
Γίνεται. εἰ γάρ τις κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεύειν
Γινώσκων. τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα ζεύς
Ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
Ψεύσεται ἐν δὲ δίκην βλάψας. νήκεστον ἀάσθη.
Τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται.

Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.
Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω μέγα νήπιε Πέρση,
Τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἐστὶν ἑλέσθαι
Ῥηϊδίως, ὀλίγη μὲν ὁδὸς μάλα δ' ἐγγύθι ναίει;
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
Καὶ τρηχὺς τὸ πρῶτον. ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ' ἤπειτα πέλει χαλεπή περ ἐοῦσα.
Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει
Φρασσάμενος, τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω,
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
Ὃς δέ κε μήτ' αὐτῷ νοέῃ, μήτ' ἄλλου ἀκούων
Ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ,
Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς·
Ἐργάζευ πέρση δῖον γένος, ὄφρα σε λιμὸς
Ἐχθαίρῃ. φιλέῃ δέ σ' ἐϋστέφανος δημήτηρ
Αἰδοίη. βιότου δὲ τεὴν πιμπλῆσι καλιήν.
Λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅσκεν ἀεργὸς
Ζώῃ κηφήνεσσι κοθούροις ἴκελος ὀργὴν
Οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
Ἔσθοντες. σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν
Ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.
Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
Καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν
Ἔσσεαι, ἠδὲ βροτοῖς, μάλα γὰρ στυγέουσιν ἀεργούς.
Ἔργον δ' οὐδὲν ὄνειδος. ἀεργίη δέ τ' ὄνειδος,
Εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει κἀεργὸς
Πλουτεῦντα, πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ,

Δαίμονι δ' οἷος ἔησθα, τὸ ἐργάζεσθαι ἄμεινον,
Εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
Εἰς ἔργον τρέψας μελετᾷς βίου ὥς σε κελεύω,
» Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
» Αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι.
Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ,
Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω.
Εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
Ἢ ὅγ' ἀπὸ γλώσσης ληίσσεται οἷά τε πολλὰ
Γίνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
Ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ,
Ῥεῖά τε μὶν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκον
Ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
Ἶσον δ' ὅς θ' ἱκέτην, ὅς τε ξεῖνον κακὸν ἔρξει.
Ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνοι,
Κρυπταδίης εὐνῆς ἀλόχου παρακαίρια ῥέζων,
Ὅς τε τευ ἀφραδίῃς ἀλιταίνεται ὀρφανὰ τέκνα,
Ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
Νεικείῃ, χαλεποῖσι καθαπτόμενος ἐπέεσιν
Τῷ δή τοι Ζεὺς αὐτὸς ἀγαίεται. ἐς δὲ τελευτὴν
Ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν,
Ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμὸν
Κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
Ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν,
Ἄλλοτε δὴ σπονδῇσι θυέεσσί τε ἱλάσκεσθαι
Ἠ μὲν ὅτ' εὐνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ.
Ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν,
Ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.
Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι

Τόνδε

Τὸν δὲ μάλιστα καλεῖν ὅς τις σέθεν ἐγγύθι ναίει.
Εἰ γάρ τοι καὶ χρῆμα ἐγχώριον ἄλλο γένηται,
Γείτονες ἄζωσοι ἔκιον, ζώσαντο δὲ πηοί.
Πῆμα κακὸς γείτων, ὅσσον τ᾽ ἀγαθὸς μέγ᾽ ὄνειαρ.
Ἔμμορέ τοι τιμῆς, ὅς τ᾽ ἔμμορε γείτονος ἐσθλοῦ.
Οὐδ᾽ ἂν βοῦς ἀπόλοιτ᾽, εἰ μὴ γείτων κακὸς εἴη.
Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ᾽ ἀποδοῦναι.
Αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον αἴκε δύνηαι.
Ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρης.
Μὴ κακὰ κερδαίνειν, κακὰ κέρδεα ἶσ᾽ ἄτῃσιν.
Τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι,
Καὶ δόμεν ὅσκεν δῷ, καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.
Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ᾽ οὔτις ἔδωκεν.
Δὼς ἀγαθή. ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.
Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε κἂν μέγα δώῃ,
Χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν.
Ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
Καί τε σμικρὸν ἐόν, τό γ᾽ ἐπάχνωσε φίλον ἦτορ.
Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
Καὶ θαμὰ τοῦτ᾽ ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο,
Ὃς δ᾽ ἐπ᾽ ἐόντι φέρει, ὁ δ᾽ ἀλύξεται αἴθοπα λιμόν.
Οὐ δὲ τό γ᾽ εἰν οἴκῳ κατακείμενον ἀνέρα κήδει,
Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι.
Ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
Χρηΐζειν ἀπεόντος, ἅ σε φράζεσθαι ἄνωγα.
Ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι.
Μεσσόθι φείδεσθαι, δειλὴ δ᾽ ἐνὶ πυθμένι φειδώ.
Μισθὸς δ᾽ ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.

πίστεις δ' ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.
Μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω
Αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν.
Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅ γε φιλήτῃσι.
Μουνογενὴς δὲ πάϊς σώζοι πατρώϊον οἶκον
Φερβέμεν, ὡς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι,
Γηραιὸς δὲ θάνοις ἕτερον παῖδ' ἐγκαταλείπων.
Ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον,
Πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη,
Σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσι.
Ὧδ' ἔρδειν, ἔργον δ' ἐπ' ἔργῳ ἐργάζεσθαι.

Ἡμέραι.

Πληϊάδων ἀτλαγενέων ἐπιτελλομενάων
Ἄρχεσθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων.
Αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
Κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
Φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου,
Οὗτός τοι πεδίων πέλεται νόμος οἵτε θαλάσσης
Ἐγγύθι ναιετάουσ' οἵ τ' ἄγκεα βησσήεντα,
Πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον
Ναίουσι. γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,
Γυμνὸν δ' ἀμᾶσθαι, εἴ χ' ὥρια πάντ' ἐθέλῃσθα
Ἔργα κομίζεσθαι Δημήτερος, ὥς τοι ἕκαστα
Ὥρι' ἀέξηται, μή πως τὰ μεταξὺ χατίζων,
Πτώσσῃς ἀλλοτρίους οἴκους καὶ μηδὲν ἀνύσσῃς,
Ὡς καὶ νῦν ἐπ' ἐμ' ἦλθες, ἐγὼ δέ τοι οὐκ ἐπιδώσω.

οὐδ'

οὐδ' ἐπιμετρήσω, ἐργάζευ νήπιε πέρση,
ἔργα τά τ' ἀνθρώποισι θεοὶ διετεκμήραντο
Μή ποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων
Ζητεύῃς βίοτον κατὰ γείτονας, οἱ δ' ἀμελῶσιν.
Δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι. ἢν δ' ἔτι λυπῇς
Χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις
Ἀχρεῖος δ' ἔσαι ἐπέων νομός. ἀλλά σ' ἄνωγα
Φράζεσθαι χρειῶν τε λύσιν, λιμοῦ τ' ἀλεωρήν.
Οἶκον μὲν πρώτιστα γυναῖκά τε βοῦν τ' ἀροτῆρα,
Κτητὴν οὐ γαμετὴν, ἥτις καὶ βουσὶν ἕποιτο,
Χρήματα δ' εἰν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
Μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
Ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον.
Μὴ δ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφιν
Οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν,
Οὐδ' ἀναβαλλόμενος. μελέτη δέ τοι ἔργον ὀφέλλει,
Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄταισι παλαίει
Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
Καύματος ἰδαλίμου μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
Πολλὸν ἐλαφρότερος. δὴ γὰρ τότε σείριος ἀστὴρ
Βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
Ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ
Ἦμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
Ὕλη. φύλλα δ' ἔραζε χέει, πτόρθοιό τε λήγει,
Τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον
Ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυ
Ἄξονα δ' ἑπταπόδην. μάλα γάρ νύ τοι ἄρμενος οὕτω.
Εἰ δέ κεν ὀκταπόδην ἀπὸ καὶ σφῦραν κε τάμοιο,

Τρισπίθαμον δ᾽ ἄψιν τάμνειν δεκαδώρῳ ἁμάξῃ
Πόλλ᾽ ἐπὶ καμπύλα κᾶλα· φέρειν δὲ γύην ὅτ᾽ ἂν εὕρῃς
Εἰς οἶκον κατ᾽ ὄρος διζήμενος ἢ κατ᾽ ἄρουραν
Πρίνινον. ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν
Εὖτ᾽ ἂν Ἀθηναίης δμῶος ἐν ἐλύματι πήξας
Γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆι.
Δοιὰ δὲ θέσθαι ἄροτρα πονησάμενος κατὰ οἶκον.
Αὐτόγυον καὶ πηκτόν, ἐπεὶ πολὺ λώϊον οὕτω.
Εἴχ᾽ ἕτερον γ᾽ ἄξαις, ἕτερον γ᾽ ἐπὶ βουσὶ βάλοιο.
Δάφνης δ᾽ ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες
Δρυὸς ἔλυμα πρίνου γύην. βόε δ᾽ ἐνναετήρω
Ἄρσενε κεκτῆσθαι. τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν.
Ἥβης μέτρον ἔχοντε, τὼ ἐργάζεσθαι ἀρίστω
Οὐκ ἂν τώγ᾽ ἐρίσαντες ἐν αὔλακι καμμὲν ἄροτρον,
Ἄξεαν, τὸ δ᾽ ἔργον ἐτώσιον αὖθι λίποιεν.
Τοῖς δ᾽ ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο
Ἄρτον δειπνήσας τετράτρυφον ὀκτάβλωμον
Ὅς κ᾽ ἔργου μελετῶν ἰθεῖαν αὔλακ᾽ ἐλαύνοι
Μηκέτι παπταίνων μεθ᾽ ὁμήλικας. ἀλλ᾽ ἐπὶ ἔργῳ
Θυμὸν ἔχων, τοῦ δ᾽ οὔτι νεώτερος ἄλλος ἀμείνων
Σπέρματα δάσσασθαι. καὶ ἐπισπορίην ἀλέασθαι.
Κουρότερος γὰρ ἀνὴρ μεθ᾽ ὁμήλικας ἐπτοίηται.
Φράζεσθαι δ᾽ εὖτ᾽ ἂν φωνὴν γεράνου ἐπακούσῃς
Ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης
Ἥ τ᾽ ἀρότοιό τε σῆμα φέρει. καὶ χείματος ὥρην
Δεικνύει ὀμβρηροῦ, κραδίην δ᾽ ἔδακ᾽ ἀνδρὸς ἀβούτεω
Δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας.
Ῥηΐδιον γὰρ ἔπος εἰπεῖν, βόε δὸς καὶ ἄμαξαν.
Ῥηΐδιον δ᾽ ἀπανήνασθαι, παρὰ δ᾽ ἔργα βόεσσιν,

φησὶ

φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἄμαξαν.
Νήπιος. οὐδὲ τό γ' οἶδ'· ἑκατὸν δέ τε δούρατ' ἀμάξης
Τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήϊα θέσθαι.
Εὖτ' ἂν δὴ πρώτις τ' ἄροτος θνητοῖσι φανείη
Δὴ τότ' ἐφορμηθῆναι ὁμῶς δμῶές τε καὶ αὐτὸς
Αὔην καὶ διερὴν ἀρόων ἀρότοιο καθ' ὥρην
Πρωῒ μάλα σπεύδων ἵνα τοι πλήθωσιν ἄρουραι.
Ἔαρι πολεῖν. θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
Νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν
Νειὸς ἀλεξιάρη, παίδων εὐκηλήτειρα
Εὔχεσθαι δὲ Διὶ χθονίῳ Δημήτερί θ' ἁγνῇ
Ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν.
Ἀρχόμενος τὰ πρῶτ' ἀρότου ὅταν ἄκρον ἐχέτλης
Χειρὶ λαβὼν ὅρπικα βοῶν ἐπὶ νῶτον ἵκναι
Ἔνδρυον ἑλκόντων μεσάβων. ὁ δὲ τυτθὸς ὄπισθεν
Δμῶος ἔχων μακέλην, πόνον ὀρνίθεσσι τιθείη.
Σπέρματα κακκρύπτων εὐθημοσύνη γὰρ ἀρίστη
Θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
Ὧδέ κεν ἁδροσύνη στάχυς νεύοιεν ἔραζε.
Εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι.
Ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια, καί σ' ἔολπα
Γηθήσειν βιότοιο ἐρευμένον ἔνδον ἐόντος.
Εὐοχέων δ' ἵξεαι πολιὸν ἔαρ. οὐδὲ πρὸς ἄλλους
Αὐγάσεαι. σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
Εἰ δέ κεν ἠελίοιο τροπῇς ἀρόῃς χθόνα δῖαν
Ἥμενος ἀμήσεις. ὀλίγον περὶ χειρὸς ἐέργων
Ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων
Οἴσεις δ' ἐν φορμῷ. παῦροι δέ σε θηήσονται.
Ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο.

Ἀργαλέος δ' ἄνδρεσσι κατὰ θνητοῖσι νοῆσαι.
Εἰ δέ κεν ὀψ' ἀρόσῃς. τόδε κέν τοι φάρμακον εἴη
Ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι,
Τοπρῶτον τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν,
Τῆμος ζεὺς ὕει τρίτῳ ἤματι μὴ δ' ἀπολήγοι.
Μήτ' ἂρ ὑπερβάλλων βοὸς ὁπλὴν μήτ' ἀπολείπων
Οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζει.
Ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο μὴ δέ σε λήθοι
Μήτ' ἔαρ γινόμενον πολιὸν, μήθ' ὥριος ὄμβρος.
Πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπ' ἀλέα λέσχην
Ὥρῃ χειμερίῃ ὁπότε κρύος ἀνέρας ἔργων,
Ἰσχάνει. ἔνθα κ' ἄοκνος ἀνὴρ μέγαν οἶκον ὀφέλλει.
Μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ,
Σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζοις
Πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
Χρηίζων βιότοιο κακὰ προσελέξατο θυμῷ.
* Ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει.
Ἥμενον ἐν λέσχῃ τῷ μὴ βίος ἄρκιος εἴη.
Δείκνυε δὲ δμώεσσι θέρευς ἔτι μέσσου ἐόντος
* Οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.
Μῆνα δὲ ληναιῶνα κακὰ ἤματα βούδορα πάντα.
Τοῦτον ἀλεύασθαι καὶ πηγάδας. αἵτ' ἐπὶ γαῖαν,
Πνεύσαντος βορέαο δυσηλεγέες τελέθουσι,
Ὅς τε διὰ θρήκης ἱπποτρόφου εὐρέι πόντῳ
Ἐμπνεύσας ὤρινε. μέμυκε δὲ γαῖα καὶ ὕλη
Πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας,
Οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
Ἐμπίπτων. καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
Τῶν καὶ λάχνῃ δέρμα κατάσκιον. ἀλλά νυ καὶ τῶν

θῆρες

Θῆρες δὲ φρίσσουσ᾽, οὐρὰς δὲ ὑπὸ μέζε᾽ ἔθεντο.
Ψυχρὸς ἐὼν διάησι δασυστέρνων περ ἐόντων,
Καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται. οὐδέ μιν ἴσχει,
Καί τε δι᾽ αἶγα ἄησι τανύτριχα, πώεα δ᾽ οὔτι.
Οὕνεκ᾽ ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν
Ἲς ἀνέμου βορέαο. τροχαλὸν δὲ γέροντα τίθησι.
Καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν.
Ἥτε δόμων ἐντόσθι φίλῃ παρὰ μητέρι μίμνει.
Οὔπω ἔργ᾽ εἰδυῖα πολυχρύσου ἀφροδίτης.
Εὖ τε λοεσσαμένη τέρενα χρόα καὶ λίπ᾽ ἐλαίῳ.
Χρισαμένη νυχίη καταλέξεται ἔνδοθεν οἴκου
Ἤματι χειμερίῳ, ὅτ᾽ ἀνόστεος ὃν πόδα τένδει,
Ἔν τ᾽ ἀπύρῳ οἴκῳ καὶ ἐν ἤθεσι λευγαλέοισιν,
Οὐ γάρ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι
Ἀλλ᾽ ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
Στρωφᾶται, βράδιον δὲ πανελλήνεσσι φαείνει.
Καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
Λυγρὸν μυλιόωντες ἀνὰ δρία βησσήεντα
Φεύγουσιν. καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν
Οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι
Καὶ γλάφυ πετρῆεν. τότε δὴ τρίποδι βροτῷ ἶσοι.
Οὗ τ᾽ ἐπὶ νῶτα ἔαγε, κάρη δ᾽ εἰς οὖδας ὁρᾶται.
Τῷ ἴκελοι φοιτῶσιν ἀλευόμενοι νίφα λευκήν.
Καὶ τότε ἕσσασθαι ἔρυμα χροὸς ὥς σε κελεύω.
Χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα.
Στήμονι δ᾽ ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι.
Τὴν περιέσσασθαι ἵνα τοι τρίχες ἀτρεμέωσι.
Μὴ δ᾽ ὀρθαὶ φρίσσωσιν ἀειρόμεναι κατὰ σῶμα.
Ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο

Ἄρμενα δήσασθαι πίλοις ἔντοσθε πυκάσας
Πρωτογόνων δ' ἐρίφων ὁπόταν κρύος ὥριον ἔλθοι.
Δέρματα συῤῥάπτειν νεύρῳ βοός. ὄφρ' ἐπὶ νώτῳ
Ὑετοῦ ἀμφιβάλῃ ἀλέην, κεφαλῆφι δ' ὕπερθεν,
Πῖλον ἔχειν ἀσκητὸν ἵν' οὔατα μὴ καταδεύῃ.
Ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος.
Ἠῶος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος
Ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις,
Ὅς τε ἀρυσάμενος ποταμῶν ἀπὸ αἰεναόντων,
Ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ.
Ἄλλοτε μὲν θ' ὕει ποτὶ ἕσπερον. ἄλλοτ' ἄησι
Πυκνὰ θρηϊκίου Βορέου νέφεα κλονέοντος.
Τὸν, φθάμενος ἔργα τελέσας, οἶκονδε νέεσθαι.
Μή ποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ.
Χρῶτά τε μυδαλέον θείη. κατὰ δ' εἵματα δεύσῃ,
Ἀλλ' ὑπαλεύασθαι, μεὶς γὰρ χαλεπώτατος οὗτος
Χειμέριος χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις
Τῆμος δ' ὥμισυ βουσὶν ἐπὶ δ' ἀνέρι τὸ πλέον εἴη,
Ἁρμαλιῆς, μακραὶ γὰρ ἐπίῤῥοθοι εὐφρόναι εἰσί.
Ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν
Ἰσοῦσθαι νύκτας τε καὶ ἤματα εἰσόκεν αὖθις
Γῆ πάντων μήτηρ καρπὸν σύμμικτον ἐνείκῃ.
Εὖτ' ἂν ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
Χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον ὠκεανοῖο
Πρῶτον παμφαίνων, ἐπιτέλλεται ἀκροκνέφαιος.
Τὸν δὲ μετ' ὀρθογόη Πανδιονὶς ὦρτο χελιδὼν,
Ἐς φάος ἀνθρώποις ἔαρος νέον ἱσαμένοιο.
Τὴν, φθάμενος, οἴνας περιταμνέμεν· ὡς γὰρ ἄμεινον.

Ἀλλ'

Ἀλλ' ὁπότ' ἂν φερέοικος ἀπὸ χθονὸς ἂμ φυτὰ βαίνῃ
Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων
Ἀλλ' ἅρπας τε χαρασσέμεναι καὶ δμῶας ἐγείρειν.
Φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠῶ κοῖτον,
Ὥρῃ ἐν ἀμητοῦ, ὅτε τ' ἠέλιος χρόα κάρφει.
Τημοῦτος σπεύδειν καὶ οἴκαδε καρπὸν ἀγείρειν.
Ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη
Ἠὼς γὰρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν
Ἠώς τοι προφέρει μὲν ὁδοῦ. προφέρει δὲ καὶ ἔργου.
Ἠώς, ἥ τε φανεῖσα πολέας ἐπέβησε κελεύθου
Ἀνθρώπους. πολλοῖσι δ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.
Ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ
Δενδρέῳ ἐφεζόμενος, λιγυρὴν καταχεύετ' ἀοιδὴν
Πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ.
Τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριστος
Μαχλόταται δὲ γυναῖκες ἀφαυρότατοι δέ τε ἄνδρες
Εἰσίν, ἐπεὶ κεφαλὴν καὶ γούνατα σείριος ἄζει,
Αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος, ἀλλὰ τότ' ἤδη
Εἴη πετραίη τε σκιὴ καὶ βίβλινος οἶνος,
Μάζα τ' ἀμολγαίη γάλα τ' αἰγῶν σβεννυμενάων.
Καὶ βοὸς ὑλοφάγοιο κρέας, μή πω τετοκυίης.
Πρωτογόνων τ' ἐρίφων. ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον
Ἐν σκιῇ ἑζόμενον κεκορημένον ἦτορ ἐδωδῆς
Ἀντίον εὐκραέος ἀνέμου τρέψαντα πρόσωπον.
Κρήνης τ' ἀενάου καὶ ἀπορρύτου, ἥτ' ἀθόλωτος
Τρὶς ὕδατος προχέειν. τὸ δὲ τέτρατον ἱέμεν οἴνου.
Δμωσὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
Δινέμεν. εὖτ' ἂν πρῶτα φανῇ σθένος ὠρίωνος,
Χώρῳ ἐν εὐαεῖ καὶ εὐτροχάλῳ ἐν ἀλωῇ,

Πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.
Αὐτὸς δ' ὡραῖον μίμνειν πλόον εἰσόκεν ἔλθῃ.
Καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν. ἐν δέ τε φόρτον
Ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι.
Ὥς περ ἐμός τε πατὴρ καὶ σὸς μέγα νήπιε πέρση,
Πλωΐζεσκε νηυσὶ βίου κεχρημένος ἐσθλοῦ
Ὅς ποτε καὶ τῇδ' ἦλθε πολὺν διὰ πόντον ἀνύσας
Κύμην αἰολίδα προλιπὼν, ἐν νηῒ μελαίνῃ.
Οὐκ ἄφενος φεύγων οὐδὲ τι πλοῦτόν τε καὶ ὄλβον,
Ἀλλὰ κακὴν πενίην. τὴν ζεὺς ἄνδρεσσι δίδωσι
Νάσσατο δ' ἄγχ' ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ
Ἄσκρῃ. χεῖμα κακῇ, θέρει δ' ἀργαλέῃ οὐδέ ποτ' ἐσθλῇ.
Τύνη δ' ὦ πέρση ἔργων μεμνημένος εἶναι
Ὡραίων πάντων. περὶ ναυτιλίης δὲ μάλιστα
Νῆ' ὀλίγην αἰνεῖν. μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι
Μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
Ἔσσεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας,
Εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν,
Βούλῃαι δὲ χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπῆ,
Δείξω δέ τοι μέτρα πολυφλοίσβοιο θαλάσσης.
Οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν.
Οὐ γάρ πώποτε νηΐ γ' ἐπέπλων εὐρέα πόντον
Εἰ μὴ εἰς εὔβοιαν ἐξ αὐλίδος. ᾗ ποτ' ἀχαιοὶ
Μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς, τροίην ἐς καλλιγύναικα.
Ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος ἀμφιδάμαντος.
Χαλκίδα τ' εἰσεπέρησα, τὰ δὲ προπεφραδμένα πολλὰ
Ἄεθλ' ἔθεσαν παῖδες μεγαλήτορες, ἔνθα με φημὶ
Ὕμνῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα.

τὸν

Τὸν μὲν, ἐγὼ μούσῃς ἑλικωνιάδεσσ' ἀνέθηκα.
Ἔνθα με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
Τόσσον τοι νηῶν γε πεπείραμαι πολυγόμφων,
Ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο.
Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
Ἐς τέλος ἐλθόντος θέρεος καματώδεος ὥρης.
Ὡραῖος πέλεται θνητοῖς πλόος, οὔτε κε νῆα,
Καυάξαις οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα.
Εἰ μὴ δὴ πρόφρων γε ποσειδάων ἐνοσίχθων,
» Ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι.
» Ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
Τῆμος δ' εὐκρινέες τ' αὖραι καὶ πόντος ἀπήμων
Εὔκηλος. τότε νῆα θοὴν ἀνέμοισι πιθήσας,
Ἑλκέμεν ἐς πόντον, φόρτον δ' εὖ πάντα τίθεσθαι.
Σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι
Μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον
Καὶ χειμῶν' ἐπιόντα νότοιό τε δεινὰς ἀήτας
Ὅς τ' ὤρινε θάλασσαν ὁμαρτήσας διὸς ὄμβρῳ,
Πολλῷ ὀπωρινῷ. χαλεπὸν δέ τε πόντον ἔθηκεν.
Ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν
Ἦμος δὴ τὸ πρῶτον ὅσον τ' ἐπιβᾶσα κορώνη,
Ἴχνος ἐποίησεν τόσσον πέταλ' ἀνδρὶ φανείη
Ἐν κράδῃ ἀκροτάτῃ. τότε δ' ἄμβατός ἐστι θάλασσα.
Εἰαρινὸς δ' οὗτος πέλεται πλόος, οὔ μιν ἔγωγε
Αἴνημ' οὐ γὰρ ἐμῷ κεχαρισμένος ἐστὶν
Ἁρπακτός. χαλεπῶς κε φύγοις κακὸν, ἀλλά νυ καὶ τὰ
Ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο.
» Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι,

Δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν, ἀλλά σ' ἄνωγα,
φράζεσθαι τάδε πάντα μετὰ φρεσὶν ὡς σ' ἀγορεύω,
μηδ' ἐν νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι,
Ἀλλὰ πλέω λείπειν. τὰ δὲ μείονα φορτίζεσθαι.
Δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κύρσαι.
Δεινὸν δ' εἴ κ' ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας
Ἄξονα καυάξαις. τὰ δὲ φορτί' ἀμαυρωθείη.
Μέτρα φυλάσσεσθαι. καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.
Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι.
Μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων.
Μήτ' ἐπιθεὶς μάλα πολλά. γάμος δέ τοι ὥριος οὗτος
Ἡ δὲ γυνὴ τέτορ' ἡβώη, πέμπτῳ δὲ γαμοῖτο.
Παρθενικὴν δὲ γαμεῖν. ὥς κ' ἤθεα κεδνὰ διδάξῃς.
Τήνδε μάλιστα γαμεῖν ἥτις σέθεν ἐγγύθι ναίει.
Πάντα μάλ' ἀμφὶς ἰδὼν μὴ γείτοσι χάρματα γήμῃς
Οὐ μὲν γάρ τοι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
Τῆς ἀγαθῆς. τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο
Δειπνολόχης. ἥ γ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
Εὕει ἄτερ δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκεν.
Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι,
Μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον.
Εἰ δέ κε ποιήσῃς μή μιν πρότερος κακὸν ἔρξῃς.
Μηδὲ ψεύδεσθαι γλώσσης χάριν. εἰ δέ κεν ἄρχῃ
Ἤ τι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας
Δὶς τόσα τίνυσθαι μεμνημένος, εἰ δέ κεν αὖθις
Ἡγῆτ' ἐς φιλότητα δίκην δ' ἐθέλῃσι παρασχεῖν
Δέξασθαι. δειλός τι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται. σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
Μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι.

μηδὲ κα

Μὴ δὲ κακῶν ἑτάρων, μὴ δ' ἐσθλῶν νεικεστῆρα.
Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
Τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
Φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
Εἰ δὲ κακὸν εἴποις τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
Μὴ δὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι.
Ἐκ κοινοῦ πλείστη δὲ χάρις, δαπάνη τ' ὀλιγίστη.
Μηδέ ποτ' ἐξ ἠοῦς Διῒ λείβειν αἴθοπα οἶνον
Χερσὶν ἀνίπτοις, μὴ δ' ἄλλοις ἀθανάτοισιν.
Οὐ γάρ τοί γε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.
Μὴ δ' ἄντ' ἠελίοιο τετραμμένος ὀρθὸς ὀμιχεῖν.
Αὐτὰρ ἐπεί κε δύῃ μεμνημένος ἔς τ' ἀνιόντα,
Μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς,
Μὴ δ' ἀπογυμνωθείς, μακάρων τοι νύκτες ἔασιν.
Ἑζόμενος δ' ὅγε θεῖος ἀνὴρ πεπνυμένα εἰδὼς
Ἢ ὅγε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.
Μὴ δ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθεν οἴκου
Ἑστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.
Μὴ δ' ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
Σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.
Μηδέ ποτ' ἀενάων ποταμῶν καλλίρροον ὕδωρ
Ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,
Χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
Ὃς ποταμὸν διαβῇ κακότητι δὲ χεῖρας ἄνιπτος
Τῷ δὲ θεοὶ νεμεσῶσι, καὶ ἄλγεα δῶκαν ὀπίσσω,
Μὴ δ' ἀπὸ πεντόζοιο θεῶν ἐνὶ δαιτὶ θαλείῃ.
Αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.
Μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν

Πινόντων

πινόντων, ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.
Μὴ δὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,
μή τοι ἐφεζομένη κρώξῃ λακέρυζα κορώνη.
Μὴ δ' ἀπὸ χυτροπόδων ἀνεπιῤῥέκτων ἀνελόντα
ἔσθειν, μὴ δὲ λόεσθαι. ἐπεὶ καὶ τοῖς ἔνι ποινή.
Μὴ δ' ἐπ' ἀκινήτοισι καθίζειν, οὐ γὰρ ἄμεινον,
παῖδα δυωδεκαταῖον, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ.
Μὴ δὲ δυωδεκάμηνον, ἴσον καὶ τοῦτο τέτυκται.
Μὴ δὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
ἀνέρα, λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
ποινή, μὴ δ' ἱεροῖσι ἐπ' αἰθομένοισι κυρήσας
μωμεύειν ἀΐδηλα. θεός τοι καὶ τὰ νεμεσσᾷ.
Μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων,
μὴ δ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι.
Μὴ δ' ἐναποψύχειν. τὸ γὰρ οὔ τοι λώϊόν ἐστιν.
Ὧδ' ἔρδειν. δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην,
φήμη γάρ τε κακὴ πέλεται κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ'. ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι
φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
λαοὶ φημίζουσι, θεός νύ τίς ἐστι καὶ αὐτή.

ΗΣΙΟΔΟΥ ΗΜΕΡΑΙ.



Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατὰ μοῖραν
πεφραδέμεν δμώεσσι, τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν, ἠδ' ἁρμαλιὴν δατέασθαι.
Εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.
Αἵ δε γὰρ ἡμέραι ἐσὶ Διὸς παρὰ μητιόεντος.
Πρῶτον ἔνη τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ.

Οἰωνοὺς κρίνας οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.
Πέμπτας δ' ἐξαλέασθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί,
Ἐν πέμπτῃ γάρ φασιν ἐριννύας ἀμφιπολεύειν
Ὅρκον τιννυμένας, τὸν ἔρις τέκε πῆμ' ἐπιόρκοις.
Μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν,
Εὖ μάλ' ὀπιπτεύοντα ἐϋτροχάλῳ ἐν ἀλωῇ
Βάλλειν, ὑλοτόμον τε ταμεῖν θαλαμήια δοῦρα
Νήϊά τε ξύλα πολλὰ, τά τ' ἄρμενα νηυσὶ πέλονται.
Τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς,
Εἰνὰς δ' ἡ μέσση ἐπιδείελα λώϊον ἦμαρ
Πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν,
Ἐσθλὴ μὲν γ' ἥδε φυτεύειν ἠδὲ γενέσθαι
Ἀνέρι τ' ἠδὲ γυναικὶ, καὶ οὔποτε πάγκακον ἦμαρ
Παῦροι δ' αὖτ' ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
Ἄρξασθαί τε πίθου, καὶ ἐπὶ ζυγὸν αὐχένα θεῖναι
Βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι
Νῆα πολυκλήϊδα θοὴν εἰς οἴνοπα πόντον
Εἰρύμεναι, παῦροι δέ τ' ἀληθέα κικλήσκουσιν
Τετράδι δ' οἶγε πίθον, περὶ πάντων ἱερὸν ἦμαρ
Μέσση. παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
Ἠοῦς γινομένης, ἐπιδείελα δ' ἐστὶ χερείων,
Αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ.
Αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι οὔτι φέρουσαι,
Ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν,
Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ,
Τάων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
Εἰδὼς, ἐργάζηται ἀναίτιος ἀθανάτοισιν
Ὄρνιθας κρίνων καὶ ὑπερβασίας ἀλεείνων.

ΤΕΛΟΣ τῶν τοῦ Ἡσιόδου ἔργων καὶ ἡμερῶν.

ξ 2



ΗΣΙΟΔΟΥ

ΘΕΟΓΟΝΙΑ.



Μουσάων ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν
Αἵθ' ἑλικῶνος ἔχουσιν ὄρος μέγατε ζάθεόν τε.
Καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
Ὀρχεῦνται, καὶ βωμὸν ἐρισθενέος κρονίωνος
Καί τε λοεσσάμεναι τέρενα χρόα περμήσσοιο
Ἢ ἵππου κρήνης, ἢ ὀλμειοῦ ζαθέοιο.
Ἀκροτάτῳ ἑλικῶνι χοροὺς ἐνεποιήσαντο
Καλοὺς ἱμερόεντας, ἐπερρώσαντο δὲ ποσσίν.
Ἔνθεν ἀπορνύμεναι κεκαλυμμέναι ἠέρι πολλῷ,
Ἐννύχιαι στεῖχον περικαλέα ὄσσαν ἱεῖσαι.
Ὑμνεῦσαι δία τ' αἰγίοχον τε καὶ πότνιαν ἥρην,
Ἀργείην χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν.
Κούρην τ' αἰγιόχοιο διὸς γλαυκῶπιν ἀθήνην.
Φοῖβόν τ' ἀπόλλωνα, καὶ ἄρτεμιν ἰοχέαιραν.
Ἠδὲ ποσειδάωνα γαιήοχον ἐννοσίγαιον
Καὶ θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' ἀφροδίτην.
Ἥβην τε χρυσοστέφανον, καλήν τε διώνην.
Λητώ τ' ἰαπετόν τε, ἰδὲ κρόνον ἀγκυλομήτην.

Ἠῶ τ'

Ἠῶ τ' ἠέλιόν τε μέγαν λαμπράν τε σελήνην
Γαῖαν τ' ὠκεανόν τε μέγαν, καὶ νύκτα μέλαιναν.
Ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
Αἵ νύ ποθ' ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδὴν
Ἄρνας ποιμαίνονθ' ἑλικῶνος ὑπὸ ζαθέοιο.
Τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπον.
Μοῦσαι ὀλυμπιάδες κοῦραι διὸς αἰγιόχοιο.
Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα γαστέρες οἶον,
Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
Ἴδμεν δ' εὖτ' ἐθέλωμεν ἀληθέα μυθήσασθαι.
Ὣς ἔφασαν κοῦραι μεγάλου διὸς ἀρτιέπειαι.
Καί μοι σκῆπτρον ἔδων δάφνης ἐριθηλέος ὄζον
Δρέψασθαι θηητόν, ἐνέπνευσαν δέ μοι αὐδὴν,
Θείην, ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
Καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων.
Σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
Ἀλλὰ τί ἦ μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην.
Τήνη μουσάων ἀρχώμεθα ταὶ διὶ πατρὶ
Ὑμνεῦσαι, τέρπουσι μέγαν νόον ἐντὸς ὀλύμπου.
Εἰρεῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.
Φωνῇ ὁμηρεῦσαι. τῶν δ' ἀκάματος ῥέει αὐδὴ,
Ἐκ στομάτων ἡδεῖα, γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ.
Σκιδναμένῃ. ἠχεῖ δὲ κάρη νιφόεντος ὀλύμπου.
Δώματ' ἀθανάτων, αἵ δ' ἄμβροτον ὄσσαν ἰεῖσαι.
Θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ.
Ἐξ ἀρχῆς οὓς γαῖα καὶ οὐρανὸς εὐρὺς ἔτικτεν.
Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρες ἐάων.
Δεύτερον αὖτε ζῆνα θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν

Κλειώ τ' εὐτέρπη τε. θάλειά τε μελπομένη τε
Τερψιχόρη τ' ἐρατώ τε. πολύμνιά τ' οὐρανίη τε.
Καλλιόπη θ' ἣ δὲ προφερεστάτη ἐς ἁπασάων
Ἣ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
Ὅντινα τιμήσουσι διὸς κοῦραι μεγάλοιο
Γινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
Τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἀοιδήν.
Τοῦ δ' ἔπ' ἐκ στόματος ῥεῖ μείλιχα, οἱ δέ νυ λαοὶ
Πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμισας
Ἰθείῃσι δίκῃσιν. ὁ δ' ἀσφαλέως ἀγορεύων,
Αἶψά τε καὶ μέγα νεῖκος ἐπισαμένως κατέπαυσε,
Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
Βλαπτομένοις, ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι.
Ῥηιδίως μαλακοῖσι παραφάμενοι ἐπέεσσιν
Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς ἱλάσκονται
Αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν.
Οἵα τε μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
Ἐκ γὰρ μουσάων καὶ ἑκηβόλου ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί.
Ἐκ δὲ διὸς βασιλῆες, ὁ δ' ὄλβιος ὅντινα μοῦσαι
Φιλεῦνται γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέϊ θυμῷ
Ἄζηται κραδίην ἀκαχήμενος. αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλέα προτέρων ἀνθρώπων.
Ὑμνήσῃ μάκαράς τε θεοὺς οἳ ὄλυμπον ἔχουσιν,
Αἶψ' ὅγε δυσφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
Μέμνηται. ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε τέκνα διός, δότε δ' ἱμερόεσσαν ἀοιδήν.
Κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.

Οἳ γῆς ἐξεγένοντο καὶ οὐρανοῦ ἀστερόεντος.
Νυκτός τε δνοφερῆς, οὓς δ' ἁλμυρὸς ἔτρεφε πόντος.
Εἴπατε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο
Καὶ ποταμοὶ, καὶ πόντος ἀπείριτος, οἴδματι θύων,
Ἄστρα τε λαμπετόωντα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν.
Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρες ἐάων.
Ὥς τ' ἄφενος δάσαντο καὶ ὡς τιμὰς διέλοντο
Ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον ὄλυμπον.
Ταῦτά μοι ἔσπετε μοῦσαι ὀλύμπια δώματ' ἔχουσαι.
Ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅτι πρῶτον γένετ' αὐτῶν.
Ἤτοι μὲν πρώτιστα χάος γένετ' αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεὶ
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης
Ἠδ' ἔρος ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι
Λυσιμελὴς πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
Δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν
Ἐκ χάεος δ' ἔρεβός τε μέλαινά τε νὺξ ἐξεγένοντο.
Νυκτὸς δ' αὖτ' αἰθήρ τε καὶ ἡμέρη ἐξεγένοντο
Οὓς τέκε κυσαμένη ἐρέβει φιλότητι μιγεῖσα
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ' ἵνα μιν περὶ πάντα καλύπτοι
Ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεὶ
Γείνατο δ' οὔρεα μακρὰ θεῶν χαρίεντας ἐναύλους
Νυμφάων αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα,
Ἠδὲ καὶ ἀτρύγετον πέλαγος τέκεν οἴδματι θῦον
Πόντον ἄτερ φιλότητος ἐφιμέρου αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' ὠκεανὸν βαθυδίνην
Κοῖόν τε κρεῖόν τε ὑπερίονά τ' ἰαπετόν τε,

Θείαν τε

Θείαν τε ῥείαν τε θέμιν τε μνημοσύνην τε
Φοίβην τε χρυσοστέφανον τηθύν τ' ἐρατεινήν
Τοὺς δὲ μέθ' ὁπλότατος γένετο κρόνος ἀγκυλομήτης
Δεινότατος παίδων θαλερὸν δ' ἤχθηρε τοκῆα
Γείνατο δ' αὖ κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας
Βροντήν τε στεροπήν τε καὶ ἄργην ὀμβριμόθυμον
Οἳ ζηνὶ βροντήν τ' ἔδοσαν τεῦξάν τε κεραυνόν
Οἳ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν
Μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐπέκειτο μετώπῳ
Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον οὕνεκ' ἄρα σφέων
Κυκλοτερὴς ὀφθαλμὸς ἔοις ἐνέκειτο μετώπῳ
Ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις
Ἄλλοι δ' αὖ γαίης τε καὶ οὐρανοῦ ἐξεγένοντο
Τρεῖς παῖδες μεγάλοι καὶ ὄμβριμοι οὐκ ὀνομαστοί
Κόττος τε βριάρεώς τε, γύγης θ' ὑπερήφανα τέκνα
Τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
Ἄπλαστοι κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν
Ἰσχὺς τ' ἄπλητος κρατερὴ μεγάλῳ ἐπὶ εἴδει
Ὅσσοι γὰρ γαίης τε καὶ οὐρανοῦ ἐξεγένοντο
Δεινότατοι παίδων σφετέρῳ δ' ἤχθοντο τοκῆϊ
Ἐξ ἀρχῆς καὶ τῶν μὲν ὅπως τίς πρῶτα γένοιτο
Πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίησκε
Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανὸς ἡ δ' ἐντὸς στεναχίζετο γαῖα πελώρη
Στεινομένη δολίην δὲ κακὴν ἐπεφράσσατο τέχνην
Αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος
Τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παισὶ φίλοισιν,
Εἶπε δὲ θαρσύνουσα φίλον τετιημένη ἦτορ,

Παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου αἴκε θέλητε
Πείθεσθαι, πατρὸς δὲ κακὴν τισαίμεθα λώβην
Ὑμετέρου, πρότερος γὰρ ἀεικέα μήσατο ἔργα
Ὣς φάτο τοὺς δ᾽ ἄρα πάντας ἕλεν δέος οὐδέ τις αὐτῶν
Φθέγξατο θαρσήσας δὲ μέγας κρόνος ἀγκυλομήτης
Ἂψ αὖτις μύθοισι προσηύδα μητέρα κεδνήν
Μῆτερ, ἐγώ κεν τοῦτό γ᾽ ὑποσχόμενος τελέσαιμι
Ἔργον ἐπεὶ πατρός γε δυσωνύμου οὐκ ἀλεγίζω
Ἡμετέρου, πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο, γήθησε δὲ μέγα φρεσὶ γαῖα πελώρη
Εἷσε δέ μιν κρύψασα λόχῳ ἐνέθηκε δὲ χερσὶ
Ἅρπην καρχαρόδοντα, δόλον δ᾽ ὑπεθήκατο πάντα,
Ἦλθε δὲ νύκτ᾽ ἐπάγων μέγας οὐρανὸς, ἀμφὶ δὲ γαίῃ
Ἱμείρων φιλότητος ἐπέσχετο καί ῥ᾽ ἐτανύσθη
Πάντῃ, ὁ δ᾽ ἐκ λοχέοιο πάϊς ὠρέξατο χειρὶ
Σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην
Μακρὴν, καρχαρόδοντα, φίλου δ᾽ ἀπὸ μήδεα πατρὸς.
Ἐσσυμένως ἤμησε, πάλιν δ᾽ ἔρριψε φέρεσθαι
Ἐξοπίσω, τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός
Ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι
Πάσας δέξατο γαῖα, περιπλομένων δ᾽ ἐνιαυτῶν
Γείνατ᾽ ἐρινῦς τε κρατερὰς μεγάλους τε γίγαντας
Τεύχεσι λαμπομένους, δολίχ᾽ ἔγχεα χερσὶν ἔχοντας.
Νύμφας θ᾽ ἃς μελίας καλέουσ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν.
Μήδεα δ᾽ ὡς τοπρῶτον ἀποτμήξας ἀδάμαντι
Κάββαλ᾽ ἐπ᾽ ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ
Ὣς φέρετ᾽ ἄμπελαγος πουλὺν χρόνον ἀμφὶ δὲ λευκὸς
Ἀφρὸς ἀπ᾽ ἀθανάτου χροὸς ὤρνυτο, τῷ δ᾽ ἐνὶ κούρη
Ἐθρέφθη, πρῶτον δὲ κυθήροισι ζαθέοισιν

Ἔπλετο

Ἔπλετ᾽, ἔνθεν ἔπειτα περίῤῥυτον ἵκετο κύπρον
Ἐκ δ᾽ ἔβη αἰδοίη καλὴ θεὸς ἀμφὶ δὲ ποίη
Ποσσὶν ὕπο ῥαδινοῖσιν ἀέξετο, τὴν δ᾽ ἀφροδίτην
Ἀφρογενέα τε θεὰν, καὶ ἐϋστέφανον κυθέρειαν
Κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ᾽ ἐν ἀφρῷ
Θρέφθη, αὐτὰρ κυθέρειαν ὅτι προσέκυρσε κυθήροις
Κυπρογένειαν ὅτι γένοιτο πολυκλύστῳ ἐνὶ κύπρῳ
Ἠδὲ φιλομμηδέα ὅτι μηδέων ἐξεφαάνθη.
Τῇ δ᾽ ἔρος ὡμάρτησε καὶ ἵμερος ἕσπετο καλὸς
Γινομένῃ τὰ πρῶτα θεῶν τ᾽ ἐς φῦλον ἰούσῃ.
Ταύτην δ᾽ ἐξ ἀρχῆς τιμὴν ἔχει ἠδὲ λέλογχε
Μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι
Παρθενίους τ᾽ ὀάρους μειδήματα τ᾽ ἐξαπάτας τε
Τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε
Τοὺς δὲ πατὴρ τιτῆνας ἐπίκλησιν καλέεσκε
Παῖδας νεικείων, μέγας οὐρανὸς οὓς τέκεν αὐτὸς,
Φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
Ἔργον, τοῖο δ᾽ ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι
Νὺξ δ᾽ ἔτεκε στυγερόν τε μόρον καὶ κῆρα μέλαιναν
Καὶ θάνατον, τέκε δ᾽ ὕπνον. ἔτικτε δὲ φῦλον ὀνείρων
Οὔτινι κοιμηθεῖσα θεὰ τέκε νὺξ ἐρεβεννή,
Δεύτερον αὖ μῶμον καὶ ὀϊζὺν ἀλγινόεσσαν
Ἑσπερίδας θ᾽ αἷς μῆλα πέρην κλυτοῦ ὠκεανοῖο
Χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπῶν.
Καὶ μοίρας καὶ κῆρας ἐγείνατο νηλεοποίνους
Κλωθώ τε λάχεσίν τε καὶ ἄτροπον αἵτε βροτοῖσιν
Γινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε, κακόν τε
Αἵτ᾽ ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι
Οὐδέ ποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο

πρίν γ᾽

Πρίν γ' ἀπὸ τῶν δώωσι κακὴν ὄπιν ὅς τις ἀμάρτῃ
Τίκτε δὲ καὶ νέμεσιν πῆμα θνητοῖσι βροτοῖσι
Νὺξ ὀλοή, μετὰ τὴν δ' ἀπάτην τέκε καὶ φιλότητα
Γῆράς τ' οὐλόμενον καὶ ἔριν τέκε καρτερόθυμον
Αὐτὰρ ἔρις στυγερὴ τέκε μὲν πόνον ἀλγινόεντα
Λήθην τε λοιμόν τε καὶ ἄλγεα δακρυόεντα
Ὑσμίνας τε φόνους τε, μάχας τ' ἀνδροκτασίας τε
Νείκεά τε ψευδέας τε λόγους ἀμφιλογίας τε
Δυσνομίην ἄτην τε συνήθεας ἀλλήλοισιν
Ὅρκον θ' ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
Πημαίνει. ὅτι κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ
Νηρέα τ' ἀψευδέα καὶ ἀληθέα γείνατο πόντος
Πρεσβύτατον παίδων, αὐτὰρ καλέουσι γέροντα
Οὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμισέων
Λήθεται ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν
Αὖτις δ' αὖ θαύμαντα μέγαν καὶ ἀγήνορα φόρκυν
Γαίῃ μισγόμενος καὶ κητὼ καλλιπάρηον
Εὐρυβίην τ', ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν
Νηρῆος δ' ἐγένοντο μεγήριτα τέκνα θεάων
Πόντῳ ἐν ἀτρυγέτῳ καὶ δωρίδος ἠϋκόμοιο
Κούρης ὠκεανοῖο τελήεντος ποταμοῖο
Πρωτώ τ' εὐκράτη τε σαώ τ' ἀμφιτρίτη τε
Εὐδώρη τε θέτις τε γαλήνη τε γλαύκη τε
Κυμοθόη σπειώ τε θοή, θαλίη τ' ἐρόεσσα
Πασιθέη τ' ἐρατώ τε καὶ εὐνείκη ῥοδόπηχυς
Καὶ μελίτη χαρίεσσα καὶ εὐλιμένη καὶ ἀγαυὴ
Δωτώ τε πρωτώ τε φέρουσά τε δυναμένη τε
Νησαίη τε καὶ ἀκταίη καὶ πρωτομέδεια
Δωρὶς καὶ πανόπη καὶ εὐειδὴς γαλάτεια

Ἱπποθόη

Ἱπποθόη τ' ἐρόεσσα καὶ ἱππονόη ῥοδόπηχυς
Κυμοδόκη θ' ἣ κύματ' ἐν ἠεροειδέϊ πόντῳ
Πνοιάς τε ζαθέων ἀνέμων σὺν κυματολήγῃ
Ῥεῖα πρηΰνει καὶ ἐϋσφύρῳ ἀμφιτρίτῃ
Κυμώ τ' ἠϊόνη τε ἐϋστέφανός θ' ἁλιμήδη
Γλαυκονόμη τε φιλομμειδὴς καὶ ποντοπόρεια
Λειαγόρη τε καὶ εὐαγόρη καὶ λαομέδεια
Πουλυνόμη τε καὶ αὐτονόμη καὶ λυσιάνασσα
Εὐάρνη τε φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος
Καὶ ψαμάθη χαρίεσσα δέμας, δίη τε μενίππη
Νησώ τ' εὐπόμπη τε θεμιστώ τε προνόη τε
Νημερτής θ' ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
Αὗται μὲν νηρῆος ἀμύμονος ἐξεγένοντο
Κοῦραι πεντήκοντα ἀμύμονα ἔργ' εἰδυῖαι
Θαύμας δ' ὠκεανοῖο βαθυρρείταο θύγατρα
Ἠγάγετ' ἠλέκτρην ἣ δ' ὠκεῖαν τέκεν ἶριν
Ἠϋκόμους θ' ἁρπυίας ἀελλώ τ' ὠκυπέτην τε
Αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
Ὠκείῃς πτερύγεσσιν, μεταχρόνιαι γὰρ ἴαλλον
Φόρκυϊ δ' αὖ κητὼ γραίας τέκε καλλιπαρήους,
Ἐκ γενετῆς πολιάς, τὰς δὴ γραίας καλέουσιν
Ἀθάνατοί τε θεοὶ χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι
Πεφρηδώ τ' εὔπεπλον, ἐνυώ τε κροκόπεπλον
Γοργούς θ' αἳ ναίουσι πέρην κλυτοῦ ὠκεανοῖο
Ἐσχατιῇ πρὸς νυκτός, ἵν' ἑσπερίδες λιγύφωνοι
Σθενώ τ' εὐρυάλη τε μέδουσά τε λυγρὰ παθοῦσα
Ἡ μὲν ἔην θνητή, αἳ δ' ἀθάνατοι καὶ ἀγήρως
Αἱ δύο, τῇ δὲ μιῇ παρελέξατο κυανοχαίτης
Ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσι,

τῆς δ' ὅτε δὴ περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν.
ἐξέθορε χρυσάωρ τε μέγας καὶ πήγασος ἵππος.
τῷ μὲν ἐπώνυμον ἦν ὅτ' ἂρ ὠκεανοῦ περὶ πηγὰς
γείνεθ' ὁ δ' ἄορ χρύσειον ἔχεν μετὰ χερσὶ φίλῃσιν
χὼ μὲν ἀποπτάμενος προλιπὼν χθόνα μητέρα μήλων
ἵκετ' ἐς ἀθανάτους, ζηνὸς δ' ἐν δώμασι ναίει
βροντήν τε στεροπήν τε φέρων διῒ μητιόεντι
χρυσάωρ δ' ἔτεκεν τρικέφαλον γηρυόνηα
τὸν μὲν ἄρ' ἐξενάριξε βίη ἡρακλείη
βουσὶ παρ' εἰλιπόδεσσι περιῤῥύτῳ εἰν ἐρυθείῃ
ἤματι τῷ ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
τίρυνθ' εἰς ἱερὴν διαβὰς πόρον ὠκεανοῖο
ὄρθον τε κτείνας καὶ βουκόλον εὐρυτίωνα
σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ ὠκεανοῖο.
ἡ δ' ἔτεκ' ἄλλο πέλωρον ἀμήχανον οὐδὲν ἐοικὸς
θνητοῖς ἀνθρώποις, οὐδ' ἀθανάτοισι θεοῖσι
σπῆϊ ἔνι γλαφυρῷ θείην κρατερόφρον' ἔχιδναν
ἥμισυ μὲν νύμφην ἑλικώπιδα καλλιπάρηον
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν δεινόν τε μέγαν τε
ποικίλον ὠμηστὴν ζαθέης ὑπὸ κεύθεσι γαίης
ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλῃ ὑπὸ πέτρῃ
τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν
ἡ δ' ἔρυτ' εἰν ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ ἔχιδνα
ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.
τῇ δὲ τυφάονα φασὶ μιγήμεναι ἐν φιλότητι
δεινόν θ' ὑβριστήν ἄνεμον ἑλικώπιδι κούρῃ,
ἡ δ' ὑποκυσσαμένη τέκετο κρατερόφρονα τέκνα
ὄρθον μὲν πρῶτον κύνα γείνατο γηρυονῆϊ

Δεύτερον

Δεύτερον αὖτις ἔτικτεν ἀμήχανον οὔτι φατειὸν
Κέρβερον ὠμηστὴν ἀΐδεω κύνα χαλκεόφωνον.
Πεντηκοντακέφαλον ἀναιδέα τε κρατερόν τε
Τὸ τρίτον ὕδρην αὖτις ἐγείνατο λύγρ' εἰδυῖαν
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος ἥρη
Ἄπλητον κοτέουσα βίῃ ἡρακληείῃ
Καὶ τὴν μὲν διὸς υἱὸς ἐνήρατο νηλέϊ χαλκῷ
Ἀμφιτρυωνιάδης σὺν ἀρηϊφίλῳ ἰολάῳ
Ἡρακλέης βουλῇσιν ἀθηναίης ἀγελείης
Ἡ δὲ χίμαιραν ἔτικτε πνέουσαν ἀμαιμάκετον πῦρ
Δεινήν τε μεγάλην τε ποδώκεά τε κρατερήν τε
Τῆς δ' ἦν τρεῖς κεφαλαὶ μία μὲν χαροποῖο λέοντος
Ἡ δὲ χιμαίρης ἡ δ' ὄφιος κρατεροῖο δράκοντος
Πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα
Δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.
Τὴν μὲν πήγασος εἷλε καὶ ἐσθλὸς βελλεροφόντης
Ἣ δ' ἄρα σφίγγ' ὀλοὴν τέκε καδμείοισιν ὄλεθρον
Ὄρθῳ ὑποδμηθεῖσα νεμειαῖόν τε λέοντα
Τόν ῥ' ἥρη θρέψασα διὸς κυδνὴ παράκοιτις
Γουνοῖσι κατένασσε νεμείης πῆμ' ἀνθρώποις
Ἔνθ' ἄρ' ὅγ' οἰκείων ἐλεφέρετο φῦλ' ἀνθρώπων
Κοιρανέων τρητοῖο νεμείης ἠδ' ἀπέσαντος.
Ἀλλά ἑ ἲς ἐδάμασσε βίης ἡρακληείης
Κητὼ δ' ὁπλότατον φόρκυϊ φιλότητι μιγεῖσα
Γείνατο δεινὸν ὄφιν ὃς ἐρεμνῆς κεύθεσι γαίης
Πείρασιν ἐν μεγάλοις παγχρύσεα μῆλα φυλάσσει
Τοῦτο μὲν ἐκ κητοῦς καὶ φόρκυνος γένος ἐστί.
Τηθὺς δ' ὠκεανῷ ποταμοὺς τέκε δινήεντας
Νεῖλόν τ' ἀλφειόν τε καὶ ἠριδανὸν βαθυδίνην

Στρυμόνα

Στρυμόνα, μαίανδρόν τε καὶ ἴστρον καλλιρέεθρον
Φᾶσίν τε, ῥῆσόν τ' ἀχελώϊον ἀργυροδίνην.
Νέσσον τε ῥόδιόν θ' ἁλιάκμονά θ' ἑπτάπορόν τε
Γρήνικόν τε καὶ αἴσηπον θεῖόν τε σιμοῦντα
Πηνειόν τε καὶ ἕρμον ἐϋρρείτην τε κάϊκον
Σαγγάριόν τε μέγαν λάδωνά τε παρθένιόν τε
Εὔηνόν τε καὶ ἄρδησκον θεῖόν τε σκάμανδρον
Τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν
Ἄνδρας κουρίζουσι σὺν ἀπόλλωνι ἄνακτι
Καὶ ποταμοῖς, ταύτην δὲ διὸς πάρα μοῖραν ἔχουσιν
Πειθώ τ' ἀδμήτη τε ἰάνθη τ' ἠλέκτρη τε
Δωρίς τε πρυμνώ τε καὶ οὐρανίη θεοειδής
Ἱππώ τε κλυμένη τε ῥόδειά τε καλλιρόη τε
Ζευξώ τε κλυτίη τε ἰδυῖά τε πασιθόη τε
Πληξαύρη τε, γαλαξαύρη τ' ἐρατή τε διώνη
Μηλόβοσίς τε θοή τε καὶ εὐειδὴς πολυδώρη
Κερκηΐς τε φυὴν ἐρατὴ πλουτώ τε βοῶπις
Περσηΐς τ' ἰάνειρά τ' ἀκάστη τε, ξανθή τε
Πετραίη τ' ἐρόεσσα, μενεσθώ τ' εὐρώπη τε
Μῆτις τ' εὐρυνόμη τε τελεσώ τε κροκόπεπλος
Κρυσηΐς τ' ἀσίη τε καὶ ἱμερόεσσα καλυψὼ
Εὐδώρη τε τύχη τε καὶ ἀμφιρὼ ὠκυρόη τε
Καὶ στὺξ ἣ δὴ σφέων προφερεστάτη ἐστὶν ἁπασέων
Αὗται δ' ὠκεανοῦ καὶ τηθύος ἐξεγένοντο
Πρεσβύταται κοῦραι, πολλαί γε μέν εἰσι καὶ ἄλλαι
Τρὶς γὰρ χίλιαί εἰσι τανύσφυροι ὠκεανῖναι
Αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
Πάντη ὁμῶς ἐφέπουσι θεάων ἀγλαὰ τέκνα
Τόσσοι δ' αὖθ' ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες

Υἱέες

τρεῖς ὠκεανοῦ τοὺς γείνατο πότνια τηθύς.
τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἄνδρα ἐνισπεῖν,
οἱ δὲ ἕκαστοι ἴσασιν ὅσοι περιναιετάουσιν.
Θεία δ' ἠέλιόν τε μέγαν λαμπράν τε σελήνην
Ἠῶθ' ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
Ἀθανάτοις τε θεοῖς τοὶ οὐρανὸν εὐρὺν ἔχουσι
Γείναθ' ὑπευνηθεῖσ' ὑπερίονος ἐν φιλότητι.
Κρίῳ τ' εὐρυβίη τέκεν ἐν φιλότητι μιγεῖσα
Ἀστραῖόν τε μέγαν πάλλαντά τε δῖα θεάων,
Πέρσην θ' ὃς καὶ πᾶσι μετέπρεπεν ἰδμοσύνῃσιν.
Ἀστραίῳ δ' ἠὼς ἀνέμους τέκε καρτεροθύμους,
Ἀργέστην, ζέφυρον, βορέην λαιψηροκέλευθον.
Καὶ νότον ἐν φιλότητι θεῷ θεὰ εὐνηθεῖσα,
Τοὺς δὲ μετ' ἀστέρα τίκτεν ἑωσφόρον ἠριγένεια.
Ἄστρα τε λαμπετόωντα, τά τ' οὐρανὸς ἐστεφάνωται.
Στὺξ δ' ἔτεκ' ὠκεανοῦ θυγάτηρ πάλλαντι μιγεῖσα
Ζῆλον καὶ νίκην καλλίσφυρον ἐν μεγάροισι,
Καὶ κράτος ἠδὲ βίην ἀριδείκετα γείνατο τέκνα
Τῶν οὐκ ἔστ' ἀπάνευθε διὸς δόμος, οὐδέ τις ἕδρη,
Οὐδ' ὁδὸς ὅππη μὴ κείνοις θεὸς ἡγεμονεύει.
Ἀλλ' αἰεὶ πὰρ ζηνὶ βαρυκτύπῳ ἑδριόωνται,
Ὣς γὰρ ἐβούλευσεν στὺξ ἄφθιτος ὠκεανίνη,
Ἤματι τῷ, ὅτε πάντας ὀλύμπιος ἀστεροπητὴς
Ἀθανάτους ἐκάλεσσεν θεοὺς ἐς μακρὸν ὄλυμπον.
Εἶπε δ' ὃς ἂν μετὰ εἷο θεῶν τιτῆσι μάχοιτο,
Μή τιν' ἀπορραίσειν γεράων. τιμὴν δὲ ἕκαστον
Ἑξέμεν, ἣν τοπάρος γε μετ' ἀθανάτοισι θεοῖσι.
Τὸν δ' ἔφαθ' ὅς τις ἄτιμος ὑπὸ κρόνου ἠδ' ἀγέραστος,
Τιμῆς καὶ γεράων ἐπιβησέμεν ἣ θέμις ἐστί.

Ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος οὔλυμπόνδε,
Σὺν σφοῖσι παίδεσσι φίλου διὰ μήδεα πατρός.
Τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν.
Αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
Παῖδας δ' ἤματα πάντα, ἑοὺς μεταναιέτας εἶναι.
Ὣς δ' αὔτως πάντεσσι διαμπερὲς ὥς περ ὑπέστη,
Ἐξετέλεσσ' αὐτὸς δὲ μέγα κρατεῖ ἠδ' ἀνάσσει.
Φοίβη δ' αὖ κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν.
Κυσαμένη δ' ἤπειτα θεὰ θεοῦ ἐν φιλότητι,
Λητὼ κυανόπεπλον ἐγείνατο μείλιχον αἰεί.
Ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
Μείλιχον ἐξ ἀρχῆς ἀγανώτατον ἐντὸς ὀλύμπου.
Γείνατο δ' ἀστερίην εὐώνυμον ἥν ποτε πέρσης,
Ἠγάγετ' ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.
Ἣ δ' ὑποκυσαμένη, ἑκάτην τέκε. τὴν περὶ πάντων
Ζεὺς κρονίδης τίμησε. πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
Μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
Ἡ δὲ καὶ ἀστερόεντος ὑπ' οὐρανοῦ ἔμμορε τιμῆς,
Ἀθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.
Καὶ γὰρ νῦν ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων,
Ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται
Κικλήσκει ἑκάτην, πολλή τέ οἱ ἕσπετο τιμὴ
Ῥεῖα μάλ' ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς.
Καί οἱ ὄλβον ὀπάζει. ἐπεὶ δύναμίς γε πάρεστιν.
Ὅσσοι γὰρ γαίης τε καὶ οὐρανοῦ ἐξεγένοντο,
Καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων.
Οὐδέ τί μιν κρονίδης ἐβιήσατο οὐδέ τ' ἀπηύρα
Ὅσσ' ἔλαχεν τιτῆσι μετὰ προτέροισι θεοῖσιν
Ἀλλ' ἔχει ὡς τὸ πρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός.

Οὐδ'

Οὐδ' ὅτι μουνογενὴς ἧσσον θεὰ ἔμμορε τιμῆς
Καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ. ἠδὲ θαλάσσῃ.
Ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον ἐπεὶ Ζεὺς τίεται αὐτήν.
Ὧ δ' ἐθέλει μεγάλως παραγίνεται ἠδ' ὀνίνησιν.
Ἔν θ' ἀγορῇ λαοῖσι μεταπρέπει, ὅν κ' ἐθέλῃσιν.
Ἠδ' ὁπότ' ἐς πόλεμον φθισήνορα θωρήσσονται,
Ἀνέρες, ἔνθα θεὰ παραγίνεται οἷς κ' ἐθέλῃσι,
Νίκην προφρονέως ὀπάσαι, καὶ κῦδος ὀρέξαι.
Ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει.
Ἐσθλὴ δ' αὖθ' ὁπότ' ἄνδρες ἀγῶνι ἀεθλεύωσιν
Ἔνθα θεὰ καὶ τοῖσι παραγίνεται ἠδ' ὀνίνησι.
Νικήσας δὲ βίῃ καὶ κάρτει καλὸν ἄεθλον,
Ῥεῖα φέρει χαίρων τε τοκεῦσί τε κῦδος ὀπάζει.
Ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν οἷς κ' ἐθέλῃσι.
Καὶ τοῖς, οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται.
Εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ ἐννοσιγαίῳ,
Ῥηϊδίως δ' ἄγρην κυδνὴ θεὸς ὤπασε πολλήν.
Ῥεῖα δ' ἀφείλετο φαινομένην ἐθέλουσά γε θυμῷ.
Ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ ληΐδ' ἀέξειν.
Βουκολίας τ' ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν,
Ποίμνας τ' εἰροπόκων τ' ὀΐων θυμῷ γε θέλουσα.
Ἐξ ὀλίγων βριάει καὶ ἐκ πολλῶν μείονα θῆκεν.
Οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
Πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσι.
Θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
Ὀφθαλμοῖσιν ἴδοντο φάος πολυδερκέος Ἠοῦς
Οὕτως ἐξ ἀρχῆς κουροτρόφος. αἳ δέ τε τιμαί.
Ῥεία δ' αὖ δμηθεῖσα Κρόνῳ, τέκε φαίδιμα τέκνα
Ἱστίην δήμητρα καὶ Ἥρην χρυσοπέδιλον,

Ἴφθιμόν τ' Ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει,
Νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον ἐννοσίγαιον,
Ζῆνά τε μητιόεντα θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
Τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών.
Καὶ τοὺς μὲν κατέπινε κρόνος μέγας ὅς τις ἕκαστος
Νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο
Τὰ φρονέων ἵνα μή τις ἀγαυῶν οὐρανιώνων
Ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληΐδα τιμήν.
Πεύθετο γὰρ γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος
Οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι
Καὶ κρατερῷ περ ἐόντι διὸς μεγάλου διὰ βουλάς
Τῷ, ὅγε οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
Παῖδας ἑοὺς κατέπινε ῥέην δ' ἔχε πένθος ἄλαστον.
Ἀλλ' ὅτε δὴ δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
Τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
Τοὺς αὐτῆς, γαῖάν τε καὶ οὐρανὸν ἀστερόεντα
Μῆτιν συμφράσσασθαι ὅπως λελάθοιτο τεκοῦσα,
Παῖδα φίλον. τίσαιτο δ' ἐριννῦς πατρὸς ἑοῖο
Παίδων, οὓς κατέπινε μέγας κρόνος ἀγκυλομήτης
Οἱ δὲ θυγατρὶ φίλῃ μετὰ μὲν κλύον. ἠδ' ἐπίθοντο
Καί οἱ πεφραδέτην ὅσα περ πέπρωτο γενέσθαι
Ἀμφὶ κρόνῳ βασιλῆϊ καὶ υἱεῖ καρτεροθύμῳ
Πέμψαν δ' ἐς λύκτον κρήτης ἐς πίονα δῆμον
Ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τεκέσθαι
Ζῆνα μέγαν, τὸν μέν οἱ ἐδέξατο γαῖα πελώρη
Κρήτῃ εὐρείῃ τραφέμεν, ἀτιταλλέμεναί τε.
Ἔνθα μὲν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
Πρώτην ἐς λύκτον. κρύψε δέ ἑ χερσὶ λαβοῦσα
Ἄντρῳ ἐν ἠλιβάτῳ ζαθέης ὑπὸ κεύθεσι γαίης

Ἀργαίῳ

Αἰγαίῳ ἐν ὄρει πεπυκασμένῳ ὑλήεντι.
Τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ' ἄνακτι θεῶν προτέρων βασιλῆϊ.
Τὸν, τότ' ἑλὼν χείρεσσιν ἑὴν ἐγκάτθετο νηδὺν
Σχέτλιος. οὐδ' ἐνόησε μετὰ φρεσὶν ὥς οἱ ὀπίσω
Ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
Λείπεθ', ὅ μιν τάχ' ἔμελλε βίῃ καὶ χερσὶ δαμάσσας
Τιμῆς ἐξελάαν, ὁ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.
Καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
Ηὔξετο. τοῖο ἄνακτος ἐπιπλομένου ἐνιαυτοῦ
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς
Ὃν γόνον ἂψ ἀνέηκε μέγας κρόνος ἀγκυλομήτης,
Νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο.
Πρῶτον δ' ἐξήμησε λίθον πύματον, καταπίνων.
Τὸν μὲν ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης,
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὑπὸ παρνησοῖο,
Σῆμ' ἔμεν ἐξοπίσω θαῦμα θνητοῖσι βροτοῖσι.
Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ὑπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν,
Οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων.
Δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν,
Καὶ στεροπὴν τὸ πρὶν δὲ πελώρη γαῖα κεκεύθει
Τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
Κούρην δ' ἰαπετὸς καλλίσφυρον ὠκεανίνην,
Ἠγάγετο κλυμένην καὶ ὁμὸν λέχος εἰσανέβαινεν.
Ἡ δέ οἱ ἄτλαντα κρατερόφρονα γείνατο παῖδα
Τίκτε δ' ὑπερκύδαντα μενοίτιον, ἠδὲ προμηθέα
Ποικίλον αἰολόμητιν ἁμαρτίνοόν τ' ἐπιμηθέα
Ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῇσι

Πρῶτος γάρ ῥά Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
Παρθένον. ὑβριστὴν δὲ Μενοίτιον εὐρύοπα Ζεὺς
Εἰς ἔρεβος κατέπεμψε, βαλὼν ψολόεντι κεραυνῷ
Εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
Πείρασιν ἐν γαίης πρόπαρ' ἑσπερίδων λιγυφώνων
Ἑστηὼς κεφαλῇ τε καὶ ἀκαμάτοισι χέρεσσι
Ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.
Δῆσε δ' ἀλυκτοπέδῃσι προμηθέα ποικιλόβουλον
Δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας.
Καί οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον, αὐτὰρ ὅγ' ἧπαρ
Ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντη,
Νυκτὸς ὅσον πρόπαν ἦμαρ ἔδει τανυσίπτερος ὄρνις
Τὸν μὲν ἄρ' ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε. κακὴν δ' ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ καὶ ἐλύσατο δυσφροσυνάων.
Οὐκ ἀέκητι Ζηνὸς ὀλυμπίου ὑψιμέδοντος,
Ὄφρ' ἡρακλῆος θηβαγενέος κλέος εἴη
Πλεῖον ἔτ' ἢ τὸ πάροιθεν ἐπὶ χθόνα πουλυβότειραν
Ταῦτ' ἄρ' ἀζόμενος τίμα ἀριδείκετον υἱὸν
Καί περ χωόμενος, παῦθη χόλου, ὃν πρὶν ἔχεσκεν.
Οὕνεκ' ἐρίζετο βουλὰ ὑπερμενεῖ κρονίωνι
Καὶ γάρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τε ἄνθρωποι
Μηκώνῃ τότ' ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ,
Δασσάμενος προὔθηκε Ζηνὸς νόον ἐξαπατίσκων
Τῷ μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονι δημῷ
Ἐν ῥινῷ κατέθηκε καλύψας γαστρὶ βοείῃ
Τῷ αὖ τ' ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
Εὐθετίσας, κατέθηκε καλύψας ἀργέτι δημῷ

Δὴ

Δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἰαπετιονίδη πάντων ἀριδείκετ' ἀνάκτων
Ὦ πέπον ὡς ἑτεροζήλως διεδάσσαο μοίρας
Ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Τὸν δ' αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης
Ἦκ' ἐπιμειδήσας δολίης δ' οὐ λήθετο τέχνης.
Ζεῦ, κύδιστε μέγιστε θεῶν αἰειγενετάων.
Τῶν δ' ἕλευ ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει
Φῆ ῥα δολοφρονέων, Ζεὺς δ' ἄφθιτα μήδεα εἰδώς.
Γνῶ ῥ' οὐδ' ἠγνοίησε δόλον, κακὰ δ' ὄσσετο θυμῷ
Θνητοῖς ἀνθρώποισι τὰ καὶ τελέεσθαι ἔμελλεν.
Χερσὶ δ' ὅγ' ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφαρ.
Χώσατο δὲ φρένας, ἀμφὶ χόλος δέ μιν ἵκετο θυμῷ,
Ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.
Ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
Καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
Τὸν δὲ, μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς.
Ἰαπετιονίδη πάντων πέρι μήδεα εἰδώς.
Ὦ πέπον οὐκ ἄρα πω, δολίης ἐπιλήθεο τέχνης.
Ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς
Ἐκ τούτου δ' ἤπειτα δόλου μεμνημένος αἰεὶ,
Οὐκ ἐδίδου μελίῃσι πυρὸς μένος ἀκαμάτοιο
Θνητοῖς ἀνθρώποις οἳ ἐπὶ χθονὶ ναιετάουσιν
Ἀλλά μιν ἐξαπάτησεν ἐῢς πάϊς Ἰαπετοῖο
Κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν,
Ἐν κοίλῳ νάρθηκι. δάκεν δ' ἄρα νειόθι θυμὸν
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ.
Ὡς ἴδεν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
Αὐτίκα δ' ἀντὶ πυρὸς, τεῦξε κακὸν ἀνθρώποισι.

γαίης γὰρ σύμπλασσε περικλυτὸς ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον κρονίδεω διὰ βουλάς.
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις ἀθήνη
Ἀργυφέῃ ἐσθῆτι κατακρῆθεν δὲ καλύπτρην
Δαιδαλέην, χείρεσσι κατέχεθε θαῦμα ἰδέσθαι
Ἀμφὶ δέ οἱ στεφάνους νεοθηλέας ἄνθεσι ποίης
Ἱμερτοὺς παρέθηκε καρήατι παλλὰς ἀθήνη
Ἀμφὶ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε.
Τὴν αὐτὸς ποίησε περικλυτὸς ἀμφιγυήεις
Ἀσκήσας παλάμῃσι χαριζόμενος διῒ πατρὶ
Τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο θαῦμα ἰδέσθαι,
Κνώδαλα ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα.
Τῶν, ὅγε πόλλ' ἐνέθηκε χάρις δ' ἀπελάμπετο πολλὴ
Θαυμασίῃ ζωοῖσιν ἐοικότα φωνήεσσιν.
Αὐτὰρ ἐπειδὴ τεῦξε καλὸν κακὸν ἀντ' ἀγαθοῖο,
Ἐξάγαγ' ἔνθάπερ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι
Κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀβριμοπάτρης
Θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους
Ὡς εἶδον δόλον αἰπὺν ἀμήχανον ἀνθρώποισιν.
Ἐκ τῆς γὰρ, γένος ἐστὶ γυναικῶν θηλυτεράων.
Τῆς γὰρ, ὀλώϊόν ἐστι γένος καὶ φῦλα γυναικῶν
Πῆμα μέγα θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν
Οὐλομένης πενίης ἀσύμφοροι ἀλλ' ἀκόροιο.
Ὡς δ' ὁπότ' ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
Κηφῆνας βόσκουσι κακῶν ξυνήονας ἔργων
Οἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἠμάτιαι σπεύδουσι τιθεῖσί τε κηρία λευκά.
Οἱ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους
Ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται,

Ὡς δ'

Ὡς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε ξυνήονας ἔργων
Ἀργαλέων. ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο.
Ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
Μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται
Χήτει γηροκόμοιο ὅδ' οὐ βιότου ἐπιδευὴς,
Ζώει. ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται,
Χηρωσταί. ᾧ δ' αὖ τε γάμου μετὰ μοῖρα γένηται,
Κεδνὴν δ' ἔσχε ἄκοιτιν ἀρηρυῖαν πραπίδεσσι
Τῷ δ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει,
Ἔμμεναι. ὃν δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
Ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
Θυμῷ καὶ κραδίῃ καὶ ἀνήκεστον κακόν ἐστιν.
Ὡς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
Οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
Τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκης
Καὶ πολυΐδριν ἐόντα μέγας καταδεσμὸς ἐρύκει.
Βριάρεω δ' ὡς τὰ πρῶτα πατὴρ ὠδύσατο θυμῷ
Κόττῳ τ' ἠδὲ Γύγῃ δῆσε κρατερῷ ἐνὶ δεσμῷ
Ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος
Καὶ μέγεθος κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης.
Ἔνθ' οἵ γ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες,
Εἵατ' ἐπ' ἐσχατιῇ μεγάλης ἐν πείρασι γαίης
Δηθὰ μάλ' ἀχνύμενοι κραδίῃ μέγα πένθος ἔχοντες
Ἀλλὰ σφέας Κρονίδης τε ἰδ' ἀθάνατοι θεοὶ ἄλλοι,
Οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνου ἐν φιλότητι
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις.
Αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε
Σὺν κείνοισι, νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.

Δηρὸν γὰρ μάρναντο πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ, καὶ ὅσοι κρόνου ἐξεγένοντο.
Ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας.
Οἱ μὲν ἀφ' ὑψηλῆς ὄθρυος τιτῆνες ἀγαυοί.
Οἱ δ' ἄρ ἀπ' οὐλύμποιο θεοὶ δωτῆρες ἐάων
Οὓς τέκεν ἠύκομος ῥείη κρόνῳ εὐνηθεῖσα.
Οἵ ῥα τότ' ἀλλήλοισι μάχην θυμαλγέ' ἔχοντες
Συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
Οὐδέ τις ἔριδος χαλεπῆς λύσις, οὐδὲ τελευτὴ
Οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
Ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα.
Νέκταρ τ' ἀμβροσίην τε, τά περ θεοὶ αὐτοὶ ἔδουσι.
Πάντων ἐν στήθεσιν ἄεξετο θυμὸς ἀγήνωρ,
Ὡς νέκταρ τ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν.
Δὴ τότε τοῖς, μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Κέκλυτέ μευ γαίης τε καὶ οὐρανοῦ ἀγλαὰ τέκνα
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι.
Νίκης καὶ κράτεος περὶ μαρνάμεθ' ἤματα πάντα.
Τιτῆνές τε θεοὶ καὶ ὅσοι κρόνου ἐκγενόμεσθα.
Ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
Φαίνετε τιτήνεσσιν ἐναντίοι ἐν δαῒ λυγρῇ.
Μνησάμενοι φιλότητος ἐνηέος ὅσσα παθόντες
Ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ὑπὸ δεσμοῦ,
Ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
Ὣς φάτο. τὸν δ' ἐξαῦτις ἀμείβετο κόττος ἀμύμων,
Δαιμόνι' οὐκ ἀδάητα πιφάσκεαι, ἀλλὰ καὶ αὐτοὶ
Ἴδμεν ὅτι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα.
Ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο

Σῇσι

Σῇσι δ' ἐπιφροσύνῃσιν ὑπὸ ζόφου ἠερόεντος.
Ἄψορρον δ' ἐξαῦτις ἀμειλίκτων ὑπὸ δεσμῶν,
Ἠλύθομεν Κρόνου υἱὲ ἄναξ ἀνάελπτα παθόντες.
Τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
Ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
Μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
Ὣς φάτ', ἐπῄνησαν δὲ θεοὶ δωτῆρες ἐάων
Μῦθον ἀκούσαντες. πολέμου δ' ἐλιλαίετο θυμὸς
Μᾶλλον ἔτ' ἢ τοπάροιθε. μάχην δ' ἀμέγαρτον ἔγειραν
Πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ.
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο.
Οὕς τε Ζεὺς ἐρέβευσφιν ὑπὸ χθονὸς ἧκε φάως δέ.
Δεινοί τε κρατεροί τε βίην ὑπέροπλον ἔχοντες.
Τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
Πᾶσιν ὁμῶς. κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ.
Πέτρας ἠλιβάτους στιβαρὰς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας.
Προφρονέως χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
Ἀμφότεροι. δεινὸν δὲ περίαχε πόντος ἀπείρων.
Γῆ δὲ μέγ' ἐσμαράγησεν ἐπέστενε δ' οὐρανὸς εὐρὺς
Σειόμενος. πεδόθεν δ' ἐτινάσσετο μακρὸς Ὄλυμπος
Ῥιπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα,
Τάρταρον ἠερόεντα. ποδῶν δ' αἰπεῖα τ' ἰωὴ
Ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων.
Ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
Φωνὴ δ' ἀμφοτέρων δ' ἵκετ' οὐρανὸν ἀστερόεντα,
Κεκλομένων, οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.

Οὐδ'

Οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος, ἀλλά νυ τοῦγε
Εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
Φαῖνε βίην. ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' ὀλύμπου
Ἀστράπτων ἔστειχε συνωχαδόν. οἱ δὲ κεραυνοὶ
Ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ἐποτέοντο
Χειρὸς ἀπὸ στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες
Ταρφέες. ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν.
Καιομένη. λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη,
Ἔζεε δὲ χθὼν πᾶσα, καὶ ὠκεανοῖο ῥέεθρα,
Πόντος τ' ἀτρύγετος, τοὺς δ' ἀμφείπετο θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους. φλὸξ δ' ἠέρα δῖαν ἵκανεν,
Ἄσπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
Αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
Καῦμα δὲ θεσπέσιον κάτεχεν χάος. εἴσατο δ' ἄντα
Ὀφθαλμοῖσιν ἰδεῖν, ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι,
Αὔτως, ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Πίλνατο. τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει.
Τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος.
Τόσσος δοῦπος ἔπλετο θεῶν ἔριδι ξυνιόντων.
Σὺν δ' ἄνεμοι ἔνοσίν τε κόνιν τ' ἐσφαράγιζον,
Βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
Κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε,
Ἐς μέσον ἀμφοτέρων. ὅτοβος δ' ἄπλητος ὀρώρει
Σμαρδαλέης ἔριδος. κάρτος δ' ἀνεφαίνετο ἔργων.
Ἐκλίνθη δὲ μάχη. πρὶν δ' ἀλλήλοις ἐπέχοντες,
Ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.
Οἱ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν,
Κόττος τε, Βριάρεώς τε, Γύγης τ' ἄατος πολέμοιο.
Οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν

Πέμπον

πέμπον ἐπασσυτέρας. κατὰ δ᾽ ἐσκίασαν βελέεσσι
Τιτῆνας, καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν. καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
Νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας.
Τόσσον ἔνερθ᾽ ὑπὸ γῆς ὅσον οὐρανός ἐσ᾽ ἀπὸ γαίης.
Ἶσον γάρ τ᾽ ἀπὸ γῆς ἐς τάρταρον ἠερόεντα.
Ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
Οὐρανόθεν κατιὼν. δεκάτῃ ἐς γαῖαν ἵκοιτο,
Ἐννέα δ᾽ αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
Ἐκ γαίης κατιὼν δεκάτῃ δ᾽ ἐς τάρταρον ἵκοιτο.
Τὸν, περὶ χάλκεον ἕρκος ἐλήλαται. ἀμφὶ δέ μιν νὺξ
Τριστοιχεὶ κέχυται περὶ δειρήν. αὐτὰρ ὕπερθεν
Γῆς ῥίζαι πεφύκασι καὶ ἀτρυγέτοιο θαλάσσης.
Ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι.
Κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο,
Χώρῳ ἐν εὐρόεντι πελώρης ἔσχατα γαίης.
Τοῖς, οὐκ ἐξιτόν ἐστι. πύλας δ᾽ ἐπέθηκε ποσειδῶν,
Χαλκείας. τεῖχος δέπερ οἴκεται ἀμφοτέρωθεν.
Ἔνθα γύγης κόττος τε καὶ ὁ βριάρεως μεγάθυμος,
Ναίουσιν φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
Ἐνθάδε γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος
Πόντου τ᾽ ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος,
Ἑξείης πάντων πηγαὶ καὶ πείρατ᾽ ἔασιν.
Ἀργαλέ᾽ εὐρώεντα. τά τε στυγέουσι θεοί περ,
Χάσμα μέγ᾽. οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Οὖδας ἵκοιτ᾽, εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
Ἀλλά κεν ἔνθα καὶ ἔνθα φέρῃ προθύελλα θυέλλῃ
Ἀργαλέη. δεινόν τε καὶ ἀθανάτοισι θεοῖσι,
Τοῦτο τέρας. καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινά,

Ἔσκηκεν νεφέλῃς κεκαλυμμένα κυανέῃσι.
Τῶν, πρός τ' ἰαπετοῖο πάϊς, ἔχετ' οὐρανὸν εὐρὺν
Ἑστὼς κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν
Ἀστεμφέως. ὅτι νύξ τε καὶ ἡμέραι τάσσον ἰοῦσαι.
Ἀλλήλας προσέειπον ἀμειβόμεναι μέγαν οὐδὸν
Χάλκεον. ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε
Ἔρχεται. οὐδέποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει.
Ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα.
Γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα,
Μίμνει τὴν αὖ τῆς ὥρην ὁδοῦ, ἔστ' ἂν ἵκηται.
Ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα.
Ἡ δ', ὕπνον μετὰ χερσὶ κασίγνητον θανάτοιο
Νὺξ ὀλοὴ νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
Ἔνθα δὲ νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν
Ὕπνος καὶ θάνατος δεινοὶ θεοί. οὐδέποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν.
Οὐρανὸν εἰσανιὼν, οὐδ' οὐρανόθεν καταβαίνων.
Τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης.
Ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι.
Τοῦ δὲ, σιδηρέη μὲν κραδίη χάλκεον δέ οἱ ἦτορ
Νηλεὲς ἐν στήθεσσιν ἔχει δ' ὃν πρῶτα λάβῃσιν
Ἀνθρώπων ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες.
Ἰφθίμου τ' ἀΐδεω καὶ ἐπαινῆς περσεφονείης
Ἑστᾶσι. δεινὸς δὲ κύων προπάροιθε φυλάσσει
Νηλειής. τέχνην δὲ κακὴν ἔχει. ἐς μὲν ἰόντας,
Σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν.
Ἐξελθεῖν δ' οὐκ αὖτις ἐᾷ πάλιν. ἀλλὰ δοκεύων,
Ἐσθίει, ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα.

Ἰφθίμου

Ἰφθίμου τ' ἀΐδαο καὶ ἐπαινῆς περσεφονείης
Ἐνθάδε ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι.
Δεινὴ στὺξ θυγάτηρ ἀψορρόου ὠκεανοῖο
Πρεσβυτάτη. νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει,
Μακρῇσι πέτρῃσι κατηρεφέ'. ἀμφὶ δὲ πάντη
Κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.
Παῦρα δὲ θαύμαντος θυγάτηρ πόδας ὠκέα ἶρις
Ἀγγελίης πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης
Ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται.
Καί ῥ' ὅστις ψεύδηται ὀλύμπια δώματ' ἐχόντων,
Ζεὺς δέ τε ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
Τηλόθεν ἐν χρυσέῃ προχόῳ πολυώνυμον ὕδωρ
Ψυχρὸν ὅ, τ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο
Ὑψηλῆς, πολλὸν δ' ὑπὸ χθονὸς εὐρυοδείης
Ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέρας, δεκάτη δ' ἐπὶ μοῖρα δέδασαι.
Ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Δίνης ἀργυρέης εἱλιγμένος εἰς ἅλα πίπτει.
Ἡ δὲ μί' ἐκ πέτρης προρέει μέγα πῆμα θεοῖσιν.
Ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ.
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου.
Κεῖται νηπότμος τετελεσμένον εἰς ἐνιαυτόν.
Οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον.
Βρώσιος. ἀλλά τε κεῖται ἀνάπνευστος καὶ ἄναυδος,
Στρωτοῖς ἐν λεχέεσσι κακὸν δ' ἐπὶ κῶμα καλύπτει.
Αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτὸν
Ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτατος ἄθλος
Ἐννάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων.
Οὐδέ ποτ' ἐς βουλὴν ἐπιμίσγεται, οὐδ' ἐπὶ δαῖτας

Ἐννέα

Ἐννέα πάντ' ἔτεα, δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
Εἰρέας ἀθανάτων, οἳ ὀλύμπια δώματ' ἔχουσι.
Τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ στυγὸς ἄφθιτον ὕδωρ
Ὠγύγιον τὸ δ' ἵησι καταστυφέλου διὰ χώρου
Ἔνθάδε γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος
Πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
Ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
Ἀργαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ.
Ἔνθάδε μαρμαρέαι τε πύλαι καὶ λάϊνος οὐδὸς
Ἀστεμφὴς ῥίζῃσι διηνεκέεσσιν ἀρηρὼς
Αὐτοφυὴς, πρόσθεν δὲ θεῶν ἔκτοσθεν ἁπάντων,
Τιτῆνες ναίουσι πέρην χάεος ζοφεροῖο.
Αὐτὰρ ἐρισμαράγοιο διὸς κλειτοὶ τ' ἐπίκουροι,
Δώματα ναιετάουσιν ἐπ' ὠκεανοῖο θεμέθλοις
Κόττος τ' ἠδὲ γύγης. βριάρεων γέ μεν ἠὺν ἐόντα,
Γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος ἐννοσίγαιος.
Δῶκε δὲ κυμοπόλειαν ὀπυίειν θυγατέρα ἥν.
Αὐτὰρ ἐπεὶ τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε ζεὺς,
Ὁπλότατον τέκε παῖδα τυφωέα γαῖα πελώρη
Ταρτάρου ἐν φιλότητι διὰ χρυσῆν ἀφροδίτην
Οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύϊ ἔργματ' ἔχουσαι
Καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ. ἐκ δέ οἱ ὤμων,
Ἦν ἑκατὸν κεφαλαὶ ὄφιος δεινοῖο δράκοντος
Γλώσσῃσι δνοφερῇσι λελεχμότες. ἐκ δέ οἱ ὄσσων
Θεσπεσίης κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε
Πασσῶν δ' ἐκ κεφαλέων, πῦρ καίετο δερκομένοιο.
Φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῆς κεφαλῇσι
Παντοίην ὄπ' ἱεῖσαι ἀθέσφατον. ἄλλοτε μὲν γὰρ,
Φθέγγονθ' ὥς τε θεοῖσι συνιέμεν. ἄλλοτε δ' αὖτε

ταύρου ἐριβρόχεω μένος ἄχετον ὄσσαν ἀγαύρου.
Ἄλλοτε δ' αὖ τε λέοντος ἀναιδέα θυμὸν ἔχοντος.
Ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα θαύματ' ἀκοῦσαι.
Ἄλλοτε δ' αὖ ῥοίζασχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
Καί νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ.
Καί κεν ὅ γε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε
Σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον. ἀμφὶ δὲ γαῖα
Σμερδαλέον κονάβησε, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Πόντος τ', ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης,
Ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' ὄλυμπος,
Ὀρνυμένοιο ἄνακτος. ἐπεστενάχιζε δὲ γαῖα.
Καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον
Βροντῆς τε στεροπῆς τε πυρὸς ἀπὸ τοῖο πελώρου,
Πρηστήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.
Ἔζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα.
Θύε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφὶ κύματα μακρὰ
Ῥιπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει.
Τρέσσε δ' ἅδης ἐνέροισι καταφθιμένοισιν ἀνάσσων.
Τιτῆνές θ' ὑποταρτάριοι κρόνου ἀμφὶς ἐόντες,
Ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηϊοτῆτος.
Ζεὺς δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα,
Βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
Πλῆξεν ἀπ' οὐλύμποιο ἐπάλμενος. ἀμφὶ δὲ πάσας
Ἔπρεε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
Αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
Ἤριπε γυιωθεὶς στενάχιζε δὲ γαῖα πελώρη.
Φλὸξ δὲ, κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος,
Οὔρεος ἐν βήσσῃσιν ἀΐδνῆς παιπαλοέσσης,

τ πληγέντος.

πληγέντος. πολλὴ δὲ πελώρη καίετο γαῖα
ἀυτμῇ θεσπεσίῃ, καὶ ἐτήκετο κασσίτερος ὣς
τέχνῃ ὑπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο
θαλφθείς, ἠδὲ σίδηρος ὅπερ κρατερώτατός ἐστιν,
οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ, ὑφ' ἡφαίστου παλάμῃσιν.
ὣς ἄρα τήκετο γαῖα σέλᾳ πυρὸς αἰθομένοιο.
ῥῖψε δέ μιν θυμῷ ἀκάχων ἐς τάρταρον εὐρύν.
ἐκ δὲ τυφώεος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
νόσφι νότου βορέω τε καὶ ἀργέστεω ζεφύροιο.
οἵγε μιν ἐκ θεόφιν γενεή, θνητοῖς μέγ' ὄνειαρ.
αἱ δ' ἄλλαι μαψαῦραι ἐπιπνείουσι θάλασσαν.
αἳ δή τοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι κακῇ θύουσιν ἀέλλῃ.
ἄλλοτε δ' ἄλλαι ἄησι διασκιδνᾶσί τε νῆας
ναύτας τε φθείρουσι. κακοῦ δ' οὐ γίνεται ἀλκὴ
ἀνδράσιν, οἳ κείνοισι συναντῶτες κατὰ πόντον.
αἳ δ' αὖ τε κατὰ γαῖαν ἀπείριτον ἀνθεμόεσσαν,
ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων
πιμπλοῦσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.
αὐτὰρ ἐπεὶ ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδὲ ἀνάσσειν
γαίης φραδμοσύνῃσιν ὀλύμπιον εὐρύοπα ζῆν
ἀθανάτων. ὁ δὲ τοῖσιν ἐῢ διεδάσσατο τιμάς.
ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο μῆτιν,
πλεῖστα θεῶν εἰδυῖαν καὶ θνητῶν ἀνθρώπων,
ἀλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν ἀθήνην
τέξασθαι, τότ' ἔπειτα δολοφρένας ἐξαπατήσας,

αἱμυλίοισι

Αἱμυλίοισι λόγοισιν ἑὴν ἐγκάτθετο νηδύν,
Γαίης φραδμοσύνῃσι καὶ οὐρανοῦ ἀστερόεντος.
Τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν,
Ἄλλος ἔχῃ Διὸς ἀντὶ θεῶν αἰειγενετάων
Ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι
Πρώτην μὲν γὰρ κούρην γλαυκώπιδα τριτογένειαν,
Ἶσον ἔχουσαν πατρὶ μένος, καὶ ἐπίφρονα βουλήν.
Αὐτὰρ ἔπειτ' ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν,
Ἤμελλεν τέξεσθαι ὑπέρβιον ἦτορ ἔχοντα.
Ἀλλ' ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐγκάτθετο νηδύν,
Ὥς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.
Δεύτερον ἠγάγετο λιπαρὴν θέμιν, ἣν τέκεν ὥρας.
Εὐνομίην τε δίκην τε καὶ εἰρήνην τεθαλυῖαν.
Αἵτ' ἔργ' ὡραίουσι κατὰ θνητοῖσι βροτοῖσι,.
Μοίρας θ' ἧς πλείστην τιμὴν πόρε μητίετα Ζεύς,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵ τε διδοῦσι
Θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.
Τρεῖς δέ οἱ εὐρυνόμη, Χάριτας τέκε καλλιπαρῄους.
Ὠκεανοῦ κούρη πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην καὶ εὐφροσύνην θαλίην τ' ἐρατεινὴν
Τῶν, καὶ ἀπὸ βλεφάρων ἔρος εἴβεται δερκομενάων,
Λυσιμελής, καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.
Αὐτὰρ ὁ δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν.
Ἣ τέκε περσεφόνην λευκώλενον, ἣν ἀϊδωνεὺς
Ἥρπασεν ἧς παρὰ μητρός. ἔδωκε δὲ μητίετα Ζεύς.
Μνημοσύνης δ' ἐξαῦτις ἐράσσατο καλλικόμοιο.
Ἐξ ἧς αἱ μοῦσαι χρυσάμπυκες ἐξεγένοντο,
Ἐννέα, τῇσιν ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' ἀπόλλωνα καὶ ἄρτεμιν ἰοχέαιραν,

Ἱμερόεντα γόνον περὶ πάντων οὐρανιώνων,
γείνατ' ἄρ', αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν·
Ἡ δ' Ἥβην, Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτε,
μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆι καὶ ἀνδρῶν.
Αὐτὸς δ' ἐκ κεφαλῆς, γλαυκώπιδα Τριτογένειαν,
Δεινὴν ἀγροκύδοιμον ἀγέστρατον ἀτρυτώνην
Πότνιαν, ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.
Ἥρη δ' Ἥφαιστον κλυτὸν ἐν φιλότητι μιγεῖσα
γείνατο, καὶ ζαμένησε καὶ ἤρισεν ᾧ παρακοίτῃ,
Ἐκ πάντων τέχνῃσι κεκασμένον οὐρανιώνων,
Ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου ἐννοσιγαίου.
Τρίτων εὐρυβίης γένετο μέγας, ὅς τε θαλάσσης
Πυθμέν' ἔχων, παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
Ναίει χρύσεα δῶ, δεινὸς θεός. αὐτὰρ Ἄρηι
Ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτεν
Δεινούς, οἵ τ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας,
Ἐν πολέμῳ κρυόεντι, σὺν Ἄρηι πτολιπόρθῳ,
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.
Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν
Κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱόν,
Μιχθεῖσ' ἐν φιλότητι, Διόνυσσον πολυγηθέα
Ἀθάνατον θνητή. νῦν δ' ἀμφότεροι θεοί εἰσιν.
Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην Ἡρακληείην,
Μιχθεῖσ' ἐν φιλότητι Διὸς νεφεληγερέταο.
Ἀγλαΐην δ' Ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις,
Ὁπλοτάτην Χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.
Χρυσοκόμης δὲ Διόνυσσος ξανθὴν Ἀριάδνην.

κούρην

Κούρην μίνωος θαλερὴν ποιήσατ' ἄκοιτιν.
Τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε κρονίων.
Ἥβην δ' ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἲς ἡρακλῆος τελέσας στονόεντας ἀέθλους,
Παῖδα διὸς μεγάλοιο καὶ ἥρης χρυσοπεδίλου
Αἰδοίην θέτ' ἄκοιτιν ἐν οὐλύμπῳ νιφόεντι.
Ὄλβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας,
Ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.
Ἠελίῳ δ' ἀκάμαντι τέκε κλυτὴ ὠκεανίνη
Περσηὶς, κίρκην τε καὶ αἰήτην βασιλῆα.
Αἰήτης δ' υἱὸς φαεσιμβρότου ἠελίοιο,
Κούρην ὠκεανοῖο τελήεντος ποταμοῖο,
Γῆμε, θεῶν βουλῇσιν, εἰδυῖαν καλλιπάρηον
Ἡ δέ οἱ μήδειαν ἐΰσφυρον ἐν φιλότητι
Γείναθ' ὑποδμηθεῖσα διὰ χρυσῆν ἀφροδίτην.
Ὑμεῖς μὲν νῦν χαίρετ' ὀλύμπια δώματ' ἔχοντες,
Νῆσοί τ' ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος.
Νῦν δὲ θεάων φῦλον ἀείσατε ἡδυέπειαι
Μοῦσαι ὀλυμπιάδες κοῦραι διὸς αἰγιόχοιο.
Ὅσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι,
Ἀθάναται γείνοντο θεοῖς ἐπιείκελα τέκνα.
Δημήτηρ μὲν πλοῦτον ἐγείνατο δῖα θεάων
Ἰασίῳ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι,
Νειῷ ἐνὶ τριπόλῳ κρήτης ἐν πίονι δήμῳ,
Ἐσθλόν, ὃς εἶσ' ἐπὶ γῆν καὶ εὐρέα νῶτα θαλάσσης,
Πᾶσαν. τῷ δὲ τυχόντι καὶ οὗ κ' ἐς χεῖρας ἵκηται,
Τὸν δ' ἀφνειὸν ἔθηκε, πολύν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' ἁρμονίη θυγάτηρ χρυσῆς ἀφροδίτης,
Ἰνὼ καὶ σεμέλην καὶ ἀγαυὴν καλλιπάρηον

Αὐτονόην δ᾽ ἄρ γῆμεν ἀρισαῖος βαθυχαίτης,
γείνατο καὶ πολύδωρον ἐϋστεφάνῳ ἐνὶ θήβῃ.
κούρη δ᾽ ὠκεανοῖο χρυσάορι καρτεροθύμῳ
μιχθεῖσ᾽ ἐν φιλότητι πολυχρύσου ἀφροδίτης.
καλλιρόη, τέκε παῖδα βροτῶν κάλλισον ἁπάντων
γηρυόνηα, τὸν, κτεῖνε βίη ἡρακλείη,
βοῶν ἕνεκ᾽ εἰλιπόδων ἀμφιῤῥύτῳ εὐρυθείῃ.
τιθωνῷ δ᾽ ἠὼς τέκε μέμνονα χαλκοκορυςὴν
αἰθιόπων βασιλῆα, καὶ ἠμαθίωνα ἄνακτα
αὐτάρ τοι κεφάλῳ φυτήσατο φαίδιμον υἱόν,
ἴφθιμον φαέθοντα θεοῖς ἐπιείκελον ἄνδρα.
τόν, ῥα νέον τέρεν ἄνθος ἔχοντ᾽ ἐρικυδέος ἥβης
παῖδ᾽ ἀταλὰ φρονέοντα φιλομμειδὴς ἀφροδίτη,
ὦρτ᾽ ἀναρεψαμένη. καί μιν ζαθέοις ἐνὶ νηοῖς,
νηοπόλον νύχιον ποιήσατο δαίμονα δῖον
κούρην δ᾽ αἰήταο διοτρεφέος βασιλῆος
αἰσονίδης, βουλῆσι θεῶν αἰειγενετάων
ἦγε παρ᾽ αἰήτου τελέσας σονόεντας ἀέθλους
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ
ὑβριστὴς πελίης καὶ ἀτάσθαλος ὀβριμοεργός.
τούς, τελέσας ἐς ἰωλκὸν ἀφίκετο πολλὰ μογήσας
ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην.
αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ᾽ ἄκοιτιν.
καί ῥ᾽ ἥγε δμηθεῖσ᾽ ὑπ᾽ ἰήσονι ποιμένι λαῶν,
μήδειον τέκε παῖδα. τὸν, οὔρεσιν ἔτρεφε χείρων,
φιλλυρίδης. μεγάλου δὲ διὸς νόος ἐξετελεῖτο
αὐτὰρ νηρηΐδες κοῦραι ἁλίοιο γέροντος.
ἤτοι μὲν φῶκον ψαμάθη τέκε δῖα θεάων
αἰακοῦ ἐν φιλότητι διὰ χρυσῆν ἀφροδίτην.

πηλεὺ

Πηλεῖ δὲ δμηθεῖσα θεὰ θέτις ἀργυρόπεζα
γείνατ' ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.
Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐΰστέφανος κυθέρεια
Ἀγχίσῃ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι,
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ὑληέσσης.
Κίρκη δ' ἠελίου θυγάτηρ ὑπεριονίδαο
γείνατ' ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι,
Ἄγριον ἠδὲ λατῖνον ἀμύμονά τε κρατερόντε.
Οἳ δή τοι μάλα τῆλε μυχῷ νήσων ἱεράων,
πᾶσιν τυρσηνοῖσιν ἀγακλυτοῖσιν ἄνασσον.
Ναυσίθοον δ' ὀδυσῆϊ καλυψὼ δῖα θεάων
γεῖναρ, ναυσίνοόν τε, μιγεῖσ' ἐρατῇ φιλότητι.
Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
Ἀθάναται γείνατο θεοῖς ἐπιείκελα τέκνα.
Νῦν δὲ γυναικῶν φῦλον ἀείσατε ἡδυέπειαι
Μοῦσαι ὀλυμπιάδες, κοῦραι διὸς αἰγιόχοιο

Τέλος τῆς ἡσιόδου θεογονίας.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΣΠΙΔΟΣ.



Τάφιοι στρατεύσαντες ἐπὶ τὰς ἠλεκτρύωνος βοῦς, ἀνεῖλον τοὺς τῆς ἀλκμήνης ἀδελφούς, τῶν θρεμμάτων ὑπεραγωνιζομένους. τοῦ δὲ ἀμφιτρύωνος βουλομένου αὐτῇ συνελθεῖν, οὐ πρότερον αὐτῷ ὑπέχεν, πρὶν ἢ παρὰ τῶν ἀδελφοκτόνων εἰσπράξηται τιμωρίαν. ὁ δὲ ἐπιστρατεύσας, ἀνεῖλεν αὐτούς. κατὰ δὲ τὴν αὐτὴν νύκτα συνέρχονται αὐτῇ ἀμφότεροι, ὅ, τε ζεὺς καὶ ὁ ἀμφιτρύων. ὁ μὲν ἐκ τοῦ πολέμου ὑποστρέψας. ζεὺς δὲ βουληθεὶς τοῖς ἀνθρώποις βοηθὸν γεννῆσαι. ἡ δὲ κύει, ἐκ μὲν ἀμφιτρύωνος ἰφικλέα. ἐκ δὲ διὸς, ἡρακλέα. ὃς καὶ ἐπὶ κύκνον ἄρεος υἱὸν, ἡνίοχον ἔχων ἰόλαον, στρατεύεται. ὃς τοὺς τὰς δεκάδας ἄγοντας εἰς πυθὼ, περιεσύλα. σκεπασθεὶς οὖν ἡφαιστοτεύκτῳ ἀσπίδι, πρόσεισιν εἰς τραχῖνα πρὸς κήϋκα. συμβαλὼν δὲ τῷ κύκνῳ, αὐτὸν μὲν ἀναιρεῖ. τὸν δὲ ἄρην ὑπερασπίζοντα τοῦ υἱοῦ, κατὰ μηρὸν τιτρώσκει, καὶ οὕτως ἔρχεται πρὸς κήϋκα. ἦν δὲ ὁ κύκνος, γαμβρὸς κήϋκος, ἐπὶ θυγατρὶ θεμιστονόμῃ.

ἩΣΙΟΔΟΥ ΠΟΙΗΜΑ ΠΕΡΙ ΤΗΣ ἈΣΠΙΔΟΣ ΤΟΥ ἩΡΑΚΛΕΟΥΣ.



Ἢ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν,
Ἤλυθεν ἐς θήβας μετ' ἀρήϊον ἀμφιτρύωνα,
Ἀλκμήνη θυγάτηρ λαοσσόου ἠλεκτρύωνος.
Ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων,
Εἴδεΐ τε μεγέθει τε νόον γε μὲν οὔτις ἔριζε
Τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
Τῆς, καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἀπὸ κυανεάων,
Τοῖον ἄηδ' οἷόν τε πολυχρύσου ἀφροδίτης.
Ἣ δὲ καὶ ὧς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην.
Ὡς οὔ πώ τις ἔτισε γυναικῶν θηλυτεράων
Ἦ μὴν πατέρ' ἐσθλὸν ἀπέκτανεν ἶφι δαμάσσας,
Χωσάμενος περὶ βουσί. λιπὼν δ' ὅτε πατρίδα γαῖαν
Ἐς θήβας ἱκέτευσε φερεσσακέας καδμείους
Ἔνθ' ὅγε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
Νόσφιν ἄτερ φιλότητος ἐφιμέρου. οὐ γάρ οἱ ἦεν
Πρὶν λεχέων ἐπιβῆναι ἐϋσφύρου ἠλεκτρυώνης,
Πρίν γε φόνον τίσαιτο κασιγνήτων μεγαθύμων
Ἧς ἀλόχου. μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
Ἀνδρῶν ἡρώων ταφίων ἰδὲ τηλεβοάων.
Ὣς γάρ οἱ διέκειτο. θεοὶ δ' ἐπιμάρτυροι ἦσαν.
Τῶν, ὅγ' ὀπίζετο μῆνιν. ἐπείγετο δ' ὅττι τάχιστα,

Ἐκτελέσαι μέγα ἔργον. ὅ οἱ διόθεν θέμις ἦεν.
Τῷ δ᾽ ἅμα ἱέμενοι πολέμοιό τε φιλόπιδός τε
Βοιωτοὶ πλήξιπποι ὑπὲρ σακέων πνείοντες
Λοκροί τ᾽ ἀγχέμαχοι καὶ φωκῆες μεγάθυμοι,
Ἕσποντ᾽ ἦρχε δὲ τοῖσιν ἐὺς πάις ἀλκαίοιο
Κυδιόων λαοῖσι. πατὴρ δ᾽ ἀνδρῶν τε θεῶν τε,
Ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσὶν ὄφρα θεοῖσιν
Ἀνδράσιν ἀλφηστῇσιν ἀρῆς ἀλκτῆρα φυτεύσαι.
Ὦρτο δ᾽ ἀπ᾽ ὀλύμποιο δόλον φρεσὶ βυσσοδομεύων
Ἱμείρων φιλότητος ἐϋζώνοιο γυναικὸς,
Ἐννύχιος. τάχα δ᾽ ἷξε τυφαόνιον τότε αὖθις
φίκιον ἀκρότατον προσεβήσατο μητίετα ζεύς.
Ἔνθα καθεζόμενος, φρεσὶ μήδετο θέσκελα ἔργα.
Αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου ἠλεκτρυώνης,
Εὐνῇ καὶ φιλότητι μίγη. τέλεσεν δ᾽ ἄρ᾽ ἐέλδωρ.
Αὐτῇ δ᾽ ἀμφιτρύων λαοσσόος ἀγλαὸς ἥρως
Ἐκτελέσας μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε.
Οὐδ᾽ ὅγ᾽ ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας,
Ὦρτ᾽ ἰέναι πρίν γ᾽ ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς.
Τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.
Ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγοι κακότητα
Νούσου ὑπ᾽ ἀργαλέης ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ,
Ὥς ῥα τότ᾽ ἀμφιτρύων χαλεπὸν πόνον ἐκτολμήσας,
Ἀσπασίως φιλίως τε ἑὸν δόμον εἰσαφίκανε.
Παννύχιος δ᾽ ἄρ᾽ ἔλεκτο σὺν αἰδοίῃ παρακοίτι
Τερπόμενος δώροισι πολυχρύσου ἀφροδίτης.
Ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε.
Οὐκ ἔθ᾽ ὁμὰ φρονέοντε κασιγνήτω γε μὲν ἤστην

τὸν

τὸν μὲν χερότερον τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
Δεινόντε κρατερόν τε βίην ἡρακληείην.
τὸν μὲν ὑποδμηθεῖσα κελαινεφεῖ κρονίωνι.
Αὐτὰρ ἰφικλῆα γε δορισσόῳ ἀμφιτρύωνι
κεκριμένην γενεὴν, τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα
τὸν δὲ διῒ κρονίωνι θεῶν σημάντορι πάντων.
Ὃς καὶ κύκνον ἔπεφνεν ἀρητιάδην μεγάθυμον
Εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου ἀπόλλωνος
Αὐτὸν καὶ πατέρ' ὃν ἄρην ἄτον πολέμοιο
Τεύχεσι λαμπομένους σέλας ὡς πυρὸς αἰθομένοιο
Ε'σαότ' ἐν δίφρῳ. χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι,
Νύσσοντες χηλῇσι. κόνις δέ σφ' ἀμφιδεδήει
Κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων,
Α'ρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον
Ι'ππων ἱεμένων. κεχάρητο δὲ κύκνος ἀμύμων
Ε'λπόμενος διὸς υἱὸν ἀρήιον ἡνίοχόν τε,
Χαλκῷ δαϊώσειν καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
Α'λλά οἱ εὐχωλέων οὐκ ἔκλυε φοῖβος ἀπόλλων.
Αὐτὸς γάρ οἱ ἐπῶρσε βίην ἡρακληείην.
Πᾶν δ' ἄλσος καὶ βωμὸς ἀπόλλωνος παγασαίου,
Λάμπεν ὑπαὶ δεινοῖο θεοῦ τευχέων τε καὶ αὐτοῦ.
Πῦρ δ' ὡς, ὀφθαλμῶν ἀπελάμπετο. τίς κεν ἐκείνῳ
Ε'τλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι
Πλὴν ἡρακλῆος καὶ κυδαλίμου ἰολάου.
Κείνων γάρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Ὅς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν ἰόλαον
Ἥρως ὦ ἰόλαε βροτῶν πολὺ φίλτατε πάντων.
Ἤ τι μετ' ἀθανάτους μάκαρας, τοὶ ὄλυμπον ἔχουσιν

Ἤλιτεν ἀμφιτρύων. ὅτ᾽ ἐϋστέφανον ποτὶ θήβην
Ἦλθε λιπὼν τίρυνθον ἐϋκτίμενον πτολίεθρον
Κτείνας ἠλεκτρύωνα βοῶν ἕνεκ᾽ εὐρυμετώπων
Ἵκετο δ᾽ εἰς κρείοντα καὶ ἡνιόχην τανύπεπλον.
Οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον,
Ἣ δίκη ἔσθ᾽ ἱκέτῃσι. τίον δ᾽ ἄρ τηλόθι μᾶλλον.
Ζῶε δ᾽ ἀγαλλόμενος σὺν ἐϋσφύρῳ ἠλεκτρυώνῃ,
Ἧ ἀλόχῳ τάχα δ᾽ ἄμμες ἐπιπλομένων ἐνιαυτῶν,
Γεινόμεθ᾽ οὔτε φρένας ἐναλίγκιον, οὔτε νόημα
Σός τε πατὴρ καὶ ἐγώ. τοῦ μὲν φρένας ἐξέλετο ζεὺς
Ὃς προλιπὼν σφέτερόν τε δῶμα σφετέρους τε τοκῆας
Ὤχετο τιμήσων ἀλιτήμενον εὐρυσθῆα.
Σχέτλιος. ἦ που μάλα μετεστοναχίζετ᾽ ὀπίσσω
Ἣν ἄτην ἀχέων. ἡ δ᾽ οὐ παλινάγρετός ἐστιν.
Αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ᾽ ἀέθλους
Ὦ φίλος. ἀλλὰ σὺ θᾶσσον ἔχ᾽ ἡνία φοινικόεντα,
Ἵππων ὠκυπόδων. μέγα δὲ φρεσὶ θάρσος ἀέξων
Ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων
Μηδὲν ὑποδδείσας κτύπον ἄρεος ἀνδροφόνοιο
Ὃς νῦν κεκληγὼς, περιμαίνεται ἱερὸν ἄλσος.
Φοίβου ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.
Ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄαται πολέμοιο
Τὸν δ᾽ αὖ τε προσέειπεν ἀμώμητος ἰόλαος.
Ἠθεῖ᾽ ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε,
Τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος ἐννοσίγαιος
Ὃς θήβης κρήδεμνον ἔχει ῥύεταί τε πόληα
Οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε·
Σὰς ἐς χεῖρας ἄγουσιν ἵνα κλέος ἐσθλὸν ἄρηαι.
Ἀλλ᾽ ἄγε δύσεο τεύχε᾽ ἀρήϊα ὄφρα τάχιστα

Δίφρους

Δίφρους ἐμπελάσαντες ἄρηος δ' ἡμέτερόμ τε,
μαρνώμεσθ' ἐπεὶ οὔτοι ἀτάρβητομ διὸς υἱὸμ
οὐδ' ἰφικλείδημ δειδίξεται ἀλλά μιμ οἴω,
φεύξεσθαι δύο παῖδας ἀμύμονος ἀλκείδαο
οἵ δή σφι σχεδὸμ εἰσι λιλαιόμενοι πολέμοιο
φυλόπιδα στήσειμ τάσφιμ πολὺ φέρτερα θοίνης.
Ὣς φάτο. μείδησεμ δὲ βίη ἡρακληείη
θυμῷ γηθήσας μάλα γάρ νύ οἱ ἄρμενα εἶπεμ
καί μιμ ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα.
Ἥρως ὦ ἰόλαε διοτρεφὲς οὐκέτι τηλοῦ
ὑσμίνη τρηχεῖα. σὺ δ' ὡς πάρος ἦσθα δαΐφρωμ,
ὣς καὶ νῦμ μέγαμ ἵππομ ἀρείονα κυανοχαίτημ,
πάντη ἀναστρωφᾶμ καὶ ἀρηγέμεν ὥς κε δύνηαι.
Ὣς εἰπὼμ κνημῖδας ὀρειχάλκοιο φαεινοῦ
ἡφαίστου κλυτὰ δῶρα περὶ κνήμῃσιμ ἔθηκε
δεύτερομ αὖ θώρηκα περὶ στήθεσσιμ ἔδυνε
καλὸμ χρύσειομ πολυδαίδαλομ ὅμ οἱ ἔδωκε
παλλὰς ἀθηναίη κούρη διὸς ὁππότ' ἔμελλε
τοπρῶτομ στονόεντας ἐφορμήσασθαι ἀέθλους.
Θήκατο δ' ἀμφ' ὤμοισιμ ἀρῆς ἀλκτῆρα σίδηρομ
δεινὸς ἀνήρ. κοίλημ ἡ περὶ στήθεσσι φαρέτρημ,
κάββαλατ' ἐξόπιθεμ πολλὸμ δ' ἔντοσθεμ ὀϊστοὶ
ῥιγηλοὶ θανάτοιο λαθιφθόγγοιο δοτῆρες.
πρόσθεμ μὲν θάνατόμ τ' εἶχομ καὶ δάκρυσι μῦρομ
μέσσοι δὲ ξεστοὶ περιμήκεες. αὐτὰρ ὄπισθεμ
μορφνοῖο φλεγύαο καλυπτόμενοι πτερύγεσσιμ
ἧσαμ. ὅδ' ὄβριμομ ἔγχος ἀκαχμένομ αἴθοπι χαλκῷ
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέημ εὔτυκτομ ἔθηκε.
δαιδαλέημ ἀδάμαντος ἐπὶ κροτάφοις ἀραρυῖαμ

ἥ τ' εἴρυτο

Ἤ τ' εἴρυτο κάρη ἡρακλῆος θείοιο.

ΑΡΧΗ ΤΗΣ ΑΣΠΙΔΟΣ.

Χερσί γε μὲν σάκος εἷλε πανάιολον, οὐδέ τις αὐτὸ
Οὔτ' ἔρρηξε βαλὼν, οὔτ' ἔθλασαι θαῦμα ἰδέσθαι.
Πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ λευκῷ τ' ἐλέφαντι
Ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην χρυσῷ τε φαεινῷ
Λαμπόμενον. κυάνου δὲ διὰ πτύχες ἠλήλαντο.
Ἐν μέσῳ δὲ δράκοντος ἔην, φόβος οὔτι φατειὸς
Ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς.
Τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων
Δεινῶν ἀπλήτων ἐπὶ δὲ βλοσυροῖο μετώπου,
Δεινὴ ἔρις πεπότητο κορύσσουσα κλόνον ἀνδρῶν
Σχετλίη. ἥ ῥα νόον τε καὶ ἐκ φρένας εἵλετο φωτῶν,
Οἵ τινες ἀντιβίην πόλεμον διὸς υἷι φέροιεν.
Τῶν, καὶ ψυχαὶ μὲν χθόνα δύνουσ' ἄϊδος εἴσω
Αὐτῶν. ὀστέα δέ σφιν περὶ ῥινοῖο σαπείσης,
Σειρίου ἀζαλέοιο κελαινὴ πύθεται αἴῃ.
Ἐν δὲ προΐωξίς τε παλίωξίς τε τέτυκτο
Ἐν δ' ὅμαδός τε φόβος τ' ἀνδροκτασίη τε δεδήει
Ἐν δ' ἔρις ἐν δὲ κυδοιμὸς ἐθύνεον ἐν δ' ὀλοὴ κὴρ
Ἄλλον ζωὸν ἔχουσα νεούτατον ἄλλον ἄουτον
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοίνεον αἵματι φωτῶν
Δεινὸν δερκομένη καναχῇσί τε βεβριθυῖα
Ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν οὔτι φατειῶν
Δώδεκα ταί, φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
Οἵ τινες ἀντιβίην πόλεμον διὸς υἷι φέροιεν
Τῶν, καὶ ὀδόντων μὲν καναχὴ πέλεν εὖτε μάχοιτο

Ἀμφι

Ἀμφιξυωνιάδης τὰ δὲ δαίεν θωῦτὰ ἔργα.
Στίγματα δ' ὡς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι
Κυάνεοι κατὰ νῶτα μελάνθησαν δὲ γένεια.
Ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν, ἠδὲ λεόντων
Ἐς σφέας δερκομένων, κοτιέντων τιεμένωντε.
Τῶν, καὶ ὁμιληδὸν σίχες ἤισαν οὐδέ νυ τοί γε
Οὐδ' ἕτεροι τρεέτην. φρίσσον γε μὲν αὐχένας ἄμφω.
Ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς ἀμφὶ δὲ κάπροι
Δοιοὶ ἀπουράμενοι ψυχάς. κατὰ δέσφι κελαινὸν
Αἷμ' ἀπελείβετ' ἔραζ', οἱ δ' αὐχένας ἐξεριπόντες,
Κείατο τεθνειῶτες ὑπὸ βλοσυροῖσι λέουσι
Τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην κοτέοντε μάχεσθαι
Ἀμφότεροι χλοῦναί τε σύες χαροποί τε λέοντες.
Ἐν δ' ἦν ὑσμίνη λαπιθῶν αἰχμητάων
Καινέα τ' ἀμφὶ ἄνακτα δρύαντά τε πειρίθοόντε
Ὁπλέα τ' ἐξάδιόντε φάληρόν τε πρόλοχόντε
Μόψον τ' ἀμπυκίδην τιταρήσιον ὄζον ἄρηος
Θησέα τ' αἰγείδην ἐπιείκελον ἀθανάτοισιν
Ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε' ἔχοντες.
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο,
Ἀμφὶ μέγαν πετραῖον ἠδ' ἄσβολον οἰωνιστήν.
Ἄρκτον θ' οὔρειόν τε μελαγχαίτην τε μίμαντα,
Καὶ δύο πευκίδας περιμήδεά τε δρύαλόν τε,
Ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
Καί τε συναΐκτην ὥσει ζωοί περ ἐόντες,
Ἔγχεσιν ἠδ' ἐλάτης αὐτοσχεδὸν ὠριγνῶντο.
Ἐν δ' ἄρεος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι
Χρύσειοι ἐν δὲ καὶ αὐτὸς ἐναρσφόρος οὔλιος ἄρης
Αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσι κελεύων,

Αἵματι φοινικόεις ὥσει ζωοὺς ἐναρίζων,
Δίφρῳ ἐπεμβεβαώς. παρὰ δὲ Δεῖμός τε Φόβος τε
Ἕστασαν, ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
Ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
Τῇ ἰκέλη ὥσεί τε μάχην ἐθέλουσα κορύσσειν,
Ἔγχος ἔχουσ' ἐν χερσὶ χρυσείην τε τρυφάλειαν.
Αἰγίδα τ' ἀμφ' ὤμοις, ἐπὶ δ' ᾤχετο φύλοπιν αἰνήν.
Ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός. ἐν δ' ἄρα μέσσῳ
Ἱμερόεν κιθάριζε Λητοῦς καὶ Διὸς υἱός,
Χρυσείῃ φόρμιγγι. θεῶν δ' ἕδος, ἁγνὸς Ὄλυμπος.
Ἐν δ' ἀγορῇ περὶ δ' ὄλβος ἀπείριτος ἐστεφάνωτο
Ἀθανάτων ἐν ἀγῶνι. θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες λιγὺ μελπομένῃς εἰκυῖαι.
Ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης
Κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο,
Κλυζομένῳ ἴκελος. πολλοὶ γέμιν ἀμμέσον αὐτοῦ
Δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες,
Νηχομένοις ἴκελοι. δοιοὶ δ' ἀναφυσιόωντες.
Ἀργύρεοι δελφῖνες ἐφοίτων ἔλλοπας ἰχθῦς
Τῶν, ὑπὸ χάλκειοι τρέον ἰχθύες, αὐτὰρ ἐπ' ἀκταῖς,
Ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος. εἶχε δὲ χερσὶν
Ἰχθύσιν ἀμφίβληστρον ἀπορρίψοντι ἐοικώς,
Ἐν δ' ἦν ἠϋκόμοιο Δανάης ἱππότα Περσεύς.
Οὔτ' ἄρ' ἐπιψαύων σάκεος ποσὶν οὔθ' ἑκὰς αὐτοῦ.
Θαῦμα μέγα φράσασθ' ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
Τὼς γάρ μιν παλάμαις τεῦξε κλυτὸς ἀμφιγυήεις,
Χρύσεον, ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα.
Ὤμοισιν δέ μιν ἀμφιμελάνδετον ἄορ ἔκειτο
Χάλκεον ἐκ τελαμῶνος. ὁ δ' ὥς τε νόημ' ἐπεπότατο

Πᾶν δὲ

Πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου.
Γοργοῦς. ἀμφὶ δέ μιν κύβισις θέε, θαῦμα ἰδέσθαι.
Ἀργυρέη. θύσανοι δὲ κατηωρεῦντο φαεινοί,
Χρύσειοι. δεινοὶ δὲ περὶ κροταφοισιν ἄνακτος.
Κεῖτ' ἄϊδος κυνέη, νυκτός ζόφον αἰνὸν ἔχουσα.
Αὐτὸς δὲ σπεύδοντι, καὶ ἐρρίγοντι ἐοικὼς,
Περσεὺς Δαναΐδης ἐτιταίνετο. ταὶ δὲ μετ' αὐτὸν,
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐρρώοντο,
Ἱέμεναι. μαπέειν. ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
Βαινουσέων ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ,
Ὀξέα καὶ λιγέως, ἐπὶ δὲ ζώνῃσι δράκοντες.
Δοιὼ ἀπῃωρεῦντ', ἐπικυρτώοντε κάρηνα.
Λίχμαζον δ' ἄρα τώ γε. μένει δ' ἐχάρασσον ὀδόντας
Ἄγρια δερκομένω. ἐπὶ δεινοῖσι δὲ καρήνοις
Γοργείης, ἐδονεῖτο μέγας φόβος. οἱ δ' ὑπὲρ αὐτέων
Ἄνδρες ἐμαρνάσθην, πολεμήϊα τεύχε' ἔχοντες.
Τοὶ μὲν, ὑπὸ σφετέρης πόλιος, σφετέρων τε τοκήων
Λοιγὸν ἀμύνοντες. τοὶ δὲ, πραθέειν μεμαῶτες.
Πολλοὶ μὲν, κέατο. πλέονες δ' ἔτι δῆριν ἔχοντες,
Μάρνανθ', αἱ δὲ γυναῖκες ἐϋδμήτων ἐπὶ πύργων.
Χάλκεον ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειάς,
Ζωῇσιν ἴκελ' ἔργα κλυτοῦ Ἡφαίστοιο.
Ἄνδρες δ' οἳ πρεσβῆες ἔσαν, γῆρας τ' ἐμέμαρπτον.
Ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν. ἂν δὲ θεοῖσι.
Χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι,
Δειδιότες. τοὶ δ' αὖτε μάχην ἔχον. αἱ δὲ, μετ' αὐτούς.
Κῆρες κυάνεαι λευκοὺς ἀραβεῦσαι ὀδόντας.
Δεινωποί, βλοσυροί τε, δαφοινοί τ' ἄπλησοί τε,
Δῆριν ἔχον περὶ πιπτόντων. πᾶσαι δ' ἄρ' ἵεντο,

Αἷμα μέλαν πιέειν. ὃν δὲ πρῶτον μεμάποιεν
κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
βάλλ' ὄνυχας μεγάλους. ψυχὴ δ' ἄϊδος δεκακεῖεν
τάρταρον ἐς κρυόενθ'· αἱ δὲ φρένας εὖτ' ἀρέσαντο.
Αἵματος ἀνδρομέου τὸν μὲν ῥίπτασκον ὀπίσω.
Ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι
Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν. ἡ μὲν ὑφήσσων
Ἄτροπος οὔτι πέλε μεγάλη θεός. ἀλλ' ἄρα ἥγε
τῶν γε μὲν ἄλλων προφερής τ' ἦν πρεσβυτάτη τε
πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο
Δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
Ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο,
Πὰρ δ' ἀχλὺς εἱστήκει ἐπισμυγερή τε καὶ αἰνή,
Χλωρὴ ἀϋσταλέη λιμῷ καταπεπτηυῖα,
Γουνοπαχής. μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν
Τῆς, ἐκ μὲν ῥινῶν, μύξαι ῥέον. ἐκ δὲ παρειῶν
Αἷμ' ἀπελείβετ' ἔραζε. ἡ δ' ἄπλητον σεσαρυῖα,
Εἱστήκει. πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους
Δάκρυσι μυδαλέη. παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν.
Χρύσεαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι.
Ἑπτὰ πύλαι. τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
Τέρψιν ἔχον. τοὶ μὲν γὰρ ἐϋσσώτρου ἐπ' ἀπήνης,
Ἤγοντ' ἀνδρὶ γυναῖκα. πολὺς δ' ὑμέναιος ὀρώρει.
Τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
Χερσὶν ἐνὶ δμώων. ταὶ δ' ἀγλαΐαις τεθαλυῖαι
Πρόσθ' ἔκιον. τοῖσι δὲ χοροὶ παίζοντες ἕποντο.
Τοὶ μὲν, ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
Ἐξ ἁπαλῶν στομάτων. περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.

Ἔνθεν

Ἔνθεν δ' αὖ ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ.
Τοί γε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ
Τοί γε μὲν αὖ γελόωντες ὑπ' αὐλητῆρι ἕκαστος
Πρόσθ' ἔκιον. πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε.
Ἀγλαΐαι τ' εἶχον. τοὶ δ' αὖ προπάροιθε πόληος
Νῶθ' ἵππων ἐπιβάντες, ἐθύνεον. οἱ δ' ἀροτῆρες
Ἤρεκον χθόνα δῖαν. ἐπιστολάδην δὲ χιτῶνας.
Ἔσταλτ' αὐτὰρ ἔην βαθὺ λήϊον. οἵ γε μὲν ἤμων
Αἰχμῇς ὀξείῃσι κορωνιόωντα πέτηλα
Βριθόμενα σταχύων ὡσεὶ δημήτερος ἀκτήν.
Οἱ δ' ἄρ ἐν ἐλλεδανοῖσι δέον καὶ ἐπίτνον ἀλωήν.
Οἱ δ' ἐτρύγων οἴνας, δρεπάνας ἐν χερσὶν ἔχοντες.
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
Λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων
Βριθομένων φύλλοισι καὶ ἀργυρέης ἑλίκεσσιν.
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν. παρὰ δέ σφισιν ὄρχος.
Χρύσεος ἦν. κλυτὰ ἔργα περίφρονος ἡφαίστοιο
Σειόμενος φύλλοισι καὶ ἀργυρέοισι κάμαξι
Τῶν γε μὲν οὖν παίζοντα ὑπ' αὐλητῆρι ἕκαστος.
Βριθόμενος σταφυλῇσι μελάνθησαν δὲ μὲν αἵδε.
Οἵ γε μὲν ἐτράπεον. τοὶ δ' ἤρυον. οἱ δ' ἐμάχοντο
Πύξ τε καὶ ἑλκηδόν. τοὶ δ' ὠκύποδας λαγὼς ᾕρευν.
Ἄνδρες θηρευταὶ καὶ καρχαρόδοντε κύνε πρὸς
Ἱέμενοι μαπέειν. οἱ δ' ἱέμενοι ἀπαλύξαι.
Πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον. ἀμφὶ δ' ἀέθλῳ
Δῆριν ἔχον καὶ μόχθον. ἐϋπλεκέων δ' ἐπὶ δίφρων
Ἡνίοχοι βεβαῶτες, ἐφίεσαν ὠκέας ἵππους
Ῥυτὰ χαλαίνοντες. τὰ δ' ἐπικροτέοντα πέτοντο
Ἄρματα κολλήεντ'. ἐπὶ δὲ πλῆμναι μέγ' ἀΰτευν,

οἱ μὲν ἄρ᾽ ἀίδιον εἶχον πόνον οὐδέ ποτέ σφιν
Νίκη ἐπηνύσθη ἀλλ᾽ ἄκλιτον εἶχον ἄεθλον
τοῖσι δὲ καὶ προὔκειτο μέγας τρίπος ἐκτὸς ἀγῶνος
χρύσειος. κλυτὰ ἔργα περίφρονος ἡφαίστοιο.
Ἀμφὶ δ᾽ ἴτυν ῥέεν ὠκεανὸς πλήθοντι ἐοικώς.
πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον. οἱ δὲ κατ᾽ αὐτὸν
κύκνοι ἀερσιπόται μεγάλ᾽ ἤπυον. οἵ ῥα γε πολλοί,
Νῆχον ἐπ᾽ ἄκρον ὕδωρ. πὰρ δ᾽ ἰχθύες δονέοντο
θαῦμα ἰδεῖν καὶ ζηνὶ βαρυκτύπῳ. οὗ διὰ βουλὰς,
Ἥφαιστος, ποίησε σάκος μέγα τε στιβαρόν τε.
Ἀρσάμενος παλάμῃσι. τὸ μὲν δῖος ἄλκιμος υἱὸς,
πάλλεν ἐπικρατέως, ἐπὶ δ᾽ ἱππείου θόρε δίφρου
Ἴκελος ἀστεροπῇ πατρὸς διὸς αἰγιόχοιο
κοῦφα βιβάς. τῷ δ᾽, ἡνίοχος κρατερὸς ἰόλαος
Δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.
Ἀγχίμολον δέ σφ᾽ ἦλθε θεὰ γλαυκῶπις ἀθήνη
Καί σφεας φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα.
Χαίρετε λυγκῆος γενεὴ τηλεκλείτοιο
Νῦν δὴ ζεὺς κράτος ὔμμι διδοῖ μακάρεσσιν ἀνάσσων
Κύκνον τ᾽ ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἄλλο δέ σοι τι ἔπος ἐρέω μέγα φέρτατε λαῶν.
Εὖτ᾽ ἂν δὴ κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς.
Τὸν μὲν ἔπειτ᾽ αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο.
Αὐτὸς δὲ βροτολοιγὸν ἄρην ἐπιόντα δοκεύσας,
Ἔνθα γυμνωθέντα σάκευς ὑπὸ δαιδαλέοιο
Ὀφθαλμοῖσιν ἴδῃς ἔνθ᾽ οὐτάμεν ὀξέι χαλκῷ.
Ἂψ δ᾽ ἀναχωρήσασθαι ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν.
Οὔθ᾽ ἵππους ἑλέειν, οὔτε κλυτὰ τεύχεα τοῖο.
Ὣς εἰποῦσ᾽ ἐς δίφρον ἐπεβήσετο δῖα θεάων

Νίκην ἀθανάτῃσι χερσὶν καὶ κῦδος ἔχουσα,
Ἐσσυμένως. τότε δή ῥα διόγνητος Ἰόλαος
Σμερδαλέον ἵπποισιν ἐκέκλετο. τοὶ δ' ὑπ' ὁμοκλῆς
Ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο.
Ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις ἀθήνη,
Αἰγίδ' ἀνασείσασα. περὶ στενάχησε δὲ γαῖα.
Τοὶ δ' ἅμυδις προγένοντ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ.
Κύκνος θ' ἱππόδαμος καὶ ἄρης ἀκόρητος ἀϋτῆς
Τῶν θ' ἵπποι μὲν ἔπειθ' ὑπεναντίοι ἀλλήλοισιν.
Ὀξέα χρέμισαν. περὶ δέ σφιν ἄγνυτο ἠχώ.
Τὸν, πρότερος προσέειπε βίη ἡρακληείη.
Κύκνε πέπον. τί νυ νῶϊν ἐπίσχετον ὠκέας ἵππους.
Ἀνδράσιν οἵ τε πόνου καὶ ὀϊζύος ἴδριές εἰμεν
Ἀλλὰ πάρεξ ἔχε δίφρον ἐΰξοον ἠδὲ κελεύθου
Εἶκε πάρεξ ἰέναι τρηχῖνα δέ τοι παρελαύνω,
Ἐς κήϋκα ἄνακτα, ὃ γὰρ δυνάμει τε καὶ αἰδοῖ,
Τρηχῖνος προβέβηκε. σὺ δ' εὖ μάλα οἶσθα καὶ αὐτός.
Τοῦ γὰρ ὀπυίεις παῖδα θεμιστονόην κυανῶπιν.
Ὦ πέπον οὐ μὲν γάρ τοι ἄρης θανάτοιο τελευτὴν,
Ἀρκέσει. εἰ δὴ νῶϊ συνοισόμεθα πτολεμίζειν.
Ἤδη μέν τέ ἕ φημι καὶ ἄλλοτε πειρηθῆναι
Ἔγχεος ἡμετέρου. ὅθ' ὑπὲρ πύλου ἠμαθόεντος,
Ἀντίος ἔστη ἐμεῖο μάχης ἄμοτον μενεαίνων.
Τρὶς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς, ἠρείσατο γαίῃ
Οὐταμένου σάκεος. τὸ δὲ τέτρατον ἤλασα μηρὸν,
Παντὶ μένει σπεύδων. διὰ δὲ μέγα σάκος ἄραξα.
Πρηνὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
Ἔνθα κε δὴ λωβητὸς ἐν ἀθανάτοισιν ἐτύχθη
Χερσὶν ἐφ' ἡμετέρῃσι λιπὼν ἔναρα βροτόεντα.

Ὣς ἔφατ᾽ οὐδ᾽ ἄρα οἱ κύκνος ἐϋμελίης ἐμενοίνα,
τῷ ἐπιπειθόμενος ἐχέμεν ἐρυσάρματας ἵππους.
Δὴ τότ᾽ ἀπ᾽ εὐπλεκέων δίφρων θόρον αἶψ᾽ ἐπὶ γαῖαν
Παῖς τε διὸς μεγάλου καὶ ἐνυαλίοιο ἄνακτος
Ἡνίοχοι δ᾽ ἔμπλην ἔλασαν καλλίθριχας ἵππους
Τῶν δ᾽ ὑποσευομένων κανάχιζε πόδ᾽ εὐρεῖα χθών.
Ὥς δ᾽ ὅτ᾽ ἀφ᾽ ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
Πέτραι ἀποθρώσκωσιν ἐπ᾽ ἀλλήλαις δὲ πέσωσι
Πολλαὶ δὲ δρῦς ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
Αἴγειροί τε τανύρ῾ῥιζοι ῥήγνυνται ὑπ᾽ αὐτῶν
Ῥίμφα κυλινδομένων εἵως πεδίον δ᾽ ἀφίκωνται,
Ὥς οἱ ἐπ᾽ ἀλλήλοισι πέσον μέγα κεκλήγοντες.
Πᾶσα δ᾽ μυρμιδόνων τε πόλις κλειτή τ᾽ ἰαωλκὸς
Ἄρνη τ᾽ ἠδ᾽ ἑλίκη ἄνθειά τε ποιήεσα.
Φωνῇ ὑπ᾽ ἀμφοτέρων, μεγάλ᾽ ἴαχον. οἱ δ᾽ ἀλαλητῷ
Θεσπεσίῳ σύνεσαν. μέγα δ᾽ ἔκτυπε μητίετα ζεύς.
Καδ δ᾽ ἄρ᾽ ἀπ᾽ οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας
Σῆμα τιθεὶς πολέμοιο ἑῷ μέγα θάρσεϊ παιδί.
Οἷος δ᾽ ἐν βήσσης ὄρεος χαλεπὸς προϊδέσθαι.
Κάπρος χαυλιόδων. φρονέει δὲ θυμῷ μαχέσασθαι
Ἀνδράσι θηρευτῇς θήγει δέ τε λευκὸν ὀδόντα
Δοχμωθείς. ἀφρὸς δὲ περὶ σῶμα μασιχόωντι.
Λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἔϊκτην.
Ὀρθὰς δ᾽ ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρήν.
Τῷ ἴκελος διὸς υἱὸς ἀφ᾽ ἱππείου θόρε δίφρου.
Ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ
Ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν.
Ἄρχεται. ᾧ τε πόσις καὶ βρῶσις θῆλυς ἐέρση
Καί τε πανημέριός τε καὶ ἠῷος χέει αὐδήν

Ἴδει ἐν

Ἴδει ἐν αἰνοτάτῳ ὁπότε χρόα σείριος ἄζει,
Τῆμος δὴ κέγχροισι περὶ γλῶχες τελέθωσι
Τούς τε θέρει σπείρουσιν ὅτ' ὄμφακες αἰόλονται
Οἷα διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος,
Τὴν, ὥρην μάρναντο. πολὺς δ' ὀρυγμαδὸς ὀρώρει.
Ὡς δ' ἢ λέοντε δύο ἀμφὶ κταμένης ἐλάφοιο
Ἀλλήλοις κοτέοντε. ἐπὶ σφέας ὁρμήσωσι
Δεινὴ δέ σφ' ἰαχὴ ἄραβός θ' ἅμα γίνετ' ὀδόντων,
Οἱ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι
Πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται
Αἰγὸς ὀρεσινόμου ἢ ἀγροτέρης ἐλάφοιο.
Πίονος, ἥν τ' ἐδάμασε βαλὼν αἰζήϊος ἀνὴρ
Ἰῷ ἀπὸ νευρῆς αὐτὸς δ' ἀπαλήσεται ἄλλη
Χώρου ἄϊδρις ἐών. οἱ δ' ὀτραλέως ἐνόησαν
Ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο.
Ὣς οἱ κεκληγότες, ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Ἔνθ' ἤτοι κύκνος μὲν ὑπερμενέος διὸς υἱὸν
Κτεινέμεναι μεμαὼς, σάκει ἔμβαλε χάλκεον ἔγχος.
Οὐδ' ἔρρηξεν χαλκόν. ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδης δὲ βίη ἡρακληείη,
Μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ
Αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου,
Ἤλασ' ἐπικρατέως ἀπὸ δ' ἄμφω κέρσε τένοντε
Ἀνδροφόνος μελίη. μέγα γὰρ σθένος ἔμπεσε φωτὸς
Ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ὅτε πέτρη
Ἠλίβατος πληγεῖσα διὸς ψολόεντι κεραυνῷ.
Ὣς ἔριπ'. ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τὸν μὲν ἔπειτ' εἴασε διὸς ταλακάρδιος υἱός.
Αὐτὸς δὲ βροτολοιγὸν ἄρηα προσιέντα δοκεύσας,

Δεινὸν ὁρῶν ὄσσοισι λέων ὥς, σῶμα τι κύρσας.
Ὅς τε μάλα ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
Σχίσας ὅτι τάχιστα μελίφρονα θυμὸν ἀπηύρα.
Ἐμμενέως δ' ἄρα τοῦ γε κελαινὸν πίμπλαται ἦτορ
Γλαυκιόων δ' ὄσσοις δεινὸν πλευράς τε καὶ ὤμους
Οὐρῇ μαστιόων ποσσὶ γλάφει οὐδέ τις αὐτὸν
Ἔτλη ἐς ἄντα ἰδὼν σχεδὸν ἐλθεῖν οὐδὲ μάχεσθαι,
Τοῖος ἄρ' ἀμφιτρυωνιάδης ἀκόρητος ἀϋτῆς
Ἀντίος ἔστη ἄρηος ἐνὶ φρεσὶ θάρσος ἀέξων,
Ἐσσυμένως. ὁ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ
Ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀροῦσα.
Μακρὰ δ' ἐπιθρώσκουσα κυλίνδεται, ἡ δέτε ἠχῇ
Ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν,
Ὑψηλός, τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει,
Τόσσῃ ὁ μὲν ἰαχῇ βρισάρματος οὔλιος ἄρης.
Κεκληγὼς ἐπόρουσεν. ὁ δ' ἐμμαπέως ὑπέδεκτο.
Αὐτὰρ ἀθηναίη κούρη διὸς αἰγιόχοιο,
Ἀντίη ἦλθεν ἄρηος ἐρεμνὴν αἰγίδ' ἔχουσα.
Δεινὰ δ' ὑπόδρα ἰδοῦσ' ἔπεα πτερόεντα προσηύδα.
Ἄρες ἐπίσχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους.
Οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα διὸς θρασυκάρδιον υἱόν.
Ἀλλ' ἄγε παῦε μάχης μηδ' ἀντίος ἵστασ' ἐμεῖο.
Ὣς ἔφατ'. ἀλλ' οὐ πεῖθ' ἄρεος μεγαλήτορα θυμόν.
Ἀλλὰ μέγ' ἰάχων φλογὶ ἴκελα τεύχεα πάλλων,
Καρπάλιμος ἐπόρουσε βίῃ ἡρακληείῃ
Κακτάμεναι μεμαὼς καὶ ῥ' ἔμβαλε χάλκεον ἔγχος
Σπερχνὸν παιδὸς ἑοῦ κοτέων περὶ τεθνεῶτος.

Ἐν σά

Ἐν σάκεϊ μεγάλῳ· ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη.
Ἔγχεος ὁρμὴν ἔξαπ᾽ ὀρεξαμένη ἀπὸ δίφρου.
Δριμὺ δ᾽ ἄρη ἄχος εἷλεν. ἐρυσσάμενος δ᾽ ἄορ ὀξὺ
Ἔσσυτ᾽ ἐφ᾽ Ἡρακλῆϊ κρατερόφρονι. τὸν δ᾽ ἐπιόντα
Ἀμφιτρυωνιάδης δεινῆς ἀκόρητος ἀϋτῆς
Μηρὸν γυμνωθέντα σάκευς ὑπὸ δαιδαλέοιο,
Οὔτασ᾽ ἐπικρατέως· διὰ δὲ μέγα σάκος ἔραξε,
Δούρατι νωμήσαν. ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.
Τῷ δὲ φόβος καὶ δεῖμος ἐΰτροχον ἅρμα καὶ ἵππους.
Ἤλασαν αἶψ᾽ ἐγγὺς καὶ ἀπὸ χθονὸς εὐρυοδείης.
Ἐς δίφρον θῆκαν πολυδαίδαλον. αἶψα δ᾽ ἔπειτα.
Ἵππους μαστιέτην. ἵκοντο δὲ μακρὸν ὄλυμπον.
Υἱὸς δ᾽ ἀλκμήνης καὶ κυδάλιμος ἰόλαος.
Κύκνον συλήσαντες ἀπ᾽ ὤμων τεύχεα καλά.
Νίσσοντ᾽ αἶψα δ᾽ ἔπειτα πόλιν τραχῖνον ἵκοντο.
Ἵπποις ὠκυπόδεσσι. ἀτὰρ γλαυκῶπις ἀθήνη
Ἐξίκετ᾽ οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ᾽ αὖ κήϋξ θάπτεν καὶ λαὸς ἀπείρων
Οἵ ῥ᾽ ἐγγὺς ναίων πόλιας κλειτοῦ βασιλῆος,
Ἄνθην. μυρμιδόνων τε πόλιν κλειτήν τ᾽ ἰαωλκόν.
Ἄρνην τ᾽ ἠδ᾽ ἑλίκην, πολλὸς δ᾽ ἠγείρετο λαὸς
Τιμῶντες κήϋκα φίλον μακάρεσσι θεοῖσι.
Τοῦ δὲ τάφον καὶ σῆμ᾽ ἀϊδὲς ποίησεν ἄναυρος.
Ὄμβρῳ χειμερίῳ πλήθων τὼς γάρ μιν ἀπόλλων,
Λητοΐδης ἤνωξ᾽ ὅτι ῥα κλειτὰς ἑκατόμβας.
Ὅστις ἄγοι πυθοῖδε, βίῃ σύλασκε δοκεύων.

Τέλος τοῦ ἡσιόδου ἀσπίδος.

Τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων,
Κύρνε σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
Τοῖς δ' ἔπεσι, λήσει δ' οὔ ποτε κλεπτόμενα,
Οὐδέ τις ἀλλάξει κάκιον τοῦ ἐσθλοῦ παρεόντος.
Ὧδε δὲ πᾶς ἐρέει θεόγνιδός ἐστιν ἔπη.
Τοῦ μεγαρέως. πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστοῦ.
Ἀστοῖσιν δ' οὔπω πᾶσιν ἀδεῖν δύναμαι.
Οὐδὲν θαυμαστὸν πολυπαίδη. οὐδὲ γὰρ ὁ Ζεὺς
Οὔθ' ὕων πάντας ἀνδάνει, οὔτ' ἀνέχων.
Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι οἷάπερ αὐτὸς
Κύρν' ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
Πέπνυσο. μὴ δ' αἰσχροῖσιν ἐπ' ἔργμασι, μὴ δ' ἀδίκοισι
Τιμὰς, μὴ δ' ἀρετὰς ἕλκεο, μὴ δ' ἄφενος.
Ταῦτα μὲν οὕτως ἴσθι. κακοῖσι δὲ μὴ προσομίλει
Ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο,
Καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
Ἵζε. καὶ ἄνδανε τοῖς ὧν μεγάλη δύναμις.
Ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι, ἢν δὲ κακοῖσι
Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
Ταῦτα μαθὼν ἀγαθοῖς ὁμίλεε. καί ποτε φήσεις,
Εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.
Κύρνε κύει πόλις ἥδε. δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
Εὐθυντῆρα κακῆς ὕβριος ὑμετέρης.
Ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες. ἡγεμόνες δὲ
Τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.
Οὐδεμίαν πω κύρν' ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες
Ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ.
Δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν
Οἰκείων κερδῶν εἵνεκα καὶ κράτεος.

Ἔλπεο

Ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
Μὴ δ' εἰ νῦν κεῖται πολλῇ ἐμ ἡσυχίῃ.
Εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται
Κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα,
Ἐκ τῶν γὰρ στάσις ἐστὶ καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
Μούναρχος δὲ πόλει μή ποτε τῇδε ἅδοι.
Κύρνε πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι
Οἳ πρόσθ' οὔτε δίκας ἤδεσαν, οὔτε νόμους,
Ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον
Ἔξω δ' ὥστ' ἔλαφοι τήνδ' ἐνέμοντο πόλιν.
Καὶ νῦν εἰσ' ἀγαθοὶ πολυπαΐδη. οἱ δὲ πρὶν ἐσθλοὶ
Νῦν δειλοί, τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν.
Ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,
Οὔτε κακῶν γνώμας εἰδότες, οὔτ' ἀγαθῶν.
Μηδένα τῶνδε φίλον ποιεῦ πολυπαΐδη ἀστῶν
Ἐκ θυμοῦ χρείης εἵνεκα μηδεμίης.
Ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
Χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν
Σπουδαῖον. γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν
Ὥς σφιν ἐπ' ἔργοισιν πίστις ἔστ' οὐδεμία.
Ἀλλὰ δόλους ἀπάτας τε πολυπλοκίας τ' ἐφίλησαν
Οὕτως, ὡς ἄνδρες μηκέτι σῳζόμενοι.
Μή ποτε κύρνε κακῷ πίσυνος βούλευε σὺν ἀνδρὶ
Εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέλῃς τελέσαι.
Ἀλλὰ μετ' ἐσθλὸν ἰὼν βουλεύεο πολλὰ μογήσας,
Καὶ μακρὴν ποσσὶν κύρν' ὁδὸν ἐκτελέσας.
Πρῆξιν μὴ δὲ φίλοισιν ὅλως ἀνακοίνεο πᾶσι,
Παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.
Παύροισι πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει,

Μήποτ'

Μήποτ' ἀνήκεσον κύρνε λάβῃς ἀνίην.
Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
Ἄξιος ἐν χαλεπῇ κύρνε διχοστασίῃ.
Παύρους εὑρήσεις πολυπαίδη ἄνδρας ἑταίρους
Πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους.
Οἵ τινες ἂν τολμῷεν ὁμόφρονα θυμὸν ἔχοντες,
Ἴσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν,
Τοὺς δ' οὐχ εὑρήσεις διζήμενος οὐδ' ἐπεὶ πάντας
Ἀνθρώπους οὓς ναῦς μὴ μία πάντας ἄγοι.
Οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεσιν
Αἰδὼς οὐδ' αἰσχρὸν χρῆμ' ἐπὶ κέρδος ἄγει.
Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ.
Εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος.
Ἤ με φίλει, καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
Ἔχθαιρ' ἀμφαδίην νεῖκος ἀειράμενος.
Ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον οὗτος ἑταῖρος
Δεινὸς κυρν' ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.
Εἴ τις ἐπαινέσει σε τόσον χρόνον, ὅσσον ὁρῴης.
Νοσφισθεὶς δ' ἄλλην γλῶσσαν ἵησι κακήν.
Τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλὸς
Ὅς κ' εἴπῃ γλώσσᾳ λῷστα, φρονεῖ δ' ἕτερα.
Ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος ὃς τὸν ἑταῖρον
Γιγνώσκων, ὀργήν, καὶ βαρὺν ὄντα φέρει
Ἀντὶ κασιγνήτου. σὺ δέ μοι φίλε ταῦτ' ἐνὶ θυμῷ
Φράζεο, καὶ ποτέ μου μνήσεαι ἐξοπίσω.
Μηδείς ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι
Κύρνε, τί δ' ἔστ' ὄφελος, κεῖνος ἀνὴρ φίλος ὤν.
Οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο, καὶ ἄτης,
Οὔτε κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν' ἐθέλει.

Ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
Οὐδέ τις ἀνθρώπων ἐργάζεται, ἐν φρεσὶν εἰδὼς,
Ἐς τέλος εἴτ' ἀγαθὸν γίνεται εἴτε κακόν.
Πολλάκι γὰρ δοκέων θήσειν κακὸν, ἐσθλὸν ἔθηκε.
Καί τε δοκῶν θήσειν ἐσθλὸν ἔθηκε κακόν.
Οὐδέ τῳ ἀνθρώπων παραγίνεται, ὅσ' ἐθέλησι.
Ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
Ἄνθρωποι δὲ μάταια νομίζομεν εἰδότες οὐδέν.
Θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.
Οὐδείς πω ξεῖνον πολυπαίδνη ἐξαπατήσας
Οὐδ' ἱκέτην, θνητῶν ἀθανάτους ἔλαθε.
Βούλεο δ' εὐσεβέως ὀλίγοις σὺν χρήμασιν οἰκεῖν
Ἢ πλουτεῖν ἀδίκως χρήματα πασάμενος.
Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στι,
Πᾶς δέ τ' ἀνὴρ ἀγαθὸς κύρνε δίκαιος ἐών.
Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,
Ἡ δ' ἀρετὴ ὀλίγοις ἀνδράσι κύρν' ἕπεται.
Ὕβριν κύρνε θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρί.
Οὗ μέλλει χώρην μηδεμίαν θέμενος.
Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
Ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.
Μή ποτέ τοι πενίην θυμοφθόρον, ἀνδρὶ χολωθεὶς,
Μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως
Ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.
Μήποτε κύρν' ἀγοράασθαι ἔπος μέγα, οἶδε γὰρ οὐδεὶς
Ἀνθρώπων ὅτι νὺξ χ' ἡμέρα ἀνδρὶ τελεῖ.
Πολλοί τοι χρῶνται δειλαῖς φρεσὶ, δαίμονι δ' ἐσθλῷ,
Οἷς τὸ κακὸν δοκέον, γίγνεται εἰς ἀγαθόν,

Εἰσὶν

Μαυροῦσθαι. σὺν γάρ μίσγεται ἐσθλὰ κακοῖς,
Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν οὖσαν
Εἰς οἴκους ἄγεται χρήμασι πειθόμενος.
Εὔδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
Ἐντύνει, ἥτ' ἀνδρὸς τλήμονα θῆκε νόον.
Χρήματα δ' ᾧ Διόθεν, καὶ σὺν δίκῃ ἀνδρὶ γένηται,
Καὶ καθαρῶς, αἰεὶ γὰρ μόνιμον τελέθει.
Εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέϊ θυμῷ
Κτήσεται. εἴθ' ὅρκῳ πὰρ τὸ δίκαιον ἑλών.
Αὐτίκα μὲν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν,
Αὖθις ἔγεντο κακὸν, θεῶν δ' ὑπερέσχε νόος.
Ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον. οὐ γὰρ ἐπ' αὐτοὺς
Γίνονται μάκαρες πρήγματος ἀμπλακίης.
Ἀλλ' ὅμεν, αὐτὸς τίσε κακὸν χρέος, ὃς δὲ φίλοισιν
Ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν.
Ἄλλον δ' οὐ κατέμαρψε δίκη θάνατος γὰρ ἀναιδὴς
Πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων.
Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος,
Τῆς δὲ φυγῆς ἐστὶ, τοῦτ' ἀνιηρότερον
Οἶνόν τοι πίνειν πουλὺν, κακὸν, ἢν δέ τις αὐτὸν
Πίνῃ ἐπισταμένως, οὐ κακὸς, ἀλλ' ἀγαθός.
Κύρνε φίλους κατὰ πάντας ἐπίστρεφε ποικίλον ἦθος,
Ὀργὴν συμμίσγων, ἥντιν' ἕκαστος ἔχει.
Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ
Τῇ προσομιλήσει τοῖος ἰδεῖν ἐφάνη.
Νῦν μὲν τῇ δ' ἐφέπου. ποτὲ δ' ἀλλοῖος χρόα γίγνου
Κρεῖττόν τοι σοφίη γίγνεται εὐτροπίης.
Μὴ δ' ἄγαν ἄσχαλλε ταρασσομένων πολιητῶν,
Κύρνε μέσην δ' ἔρχου τὴν ὁδὸν ὥσπερ ἐγώ.

Ὅστις σοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδὲν,
  Ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
Κεῖνος γ' ἄφρων ἐστὶ νόου βεβλαμμένος ἐσθλοῦ,
  Ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα.
Ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι.
  τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.
Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν,
  οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι βίον.
Διπλάσιον σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας,
  χρήματά τοι θνητοῖς γίγνεται ἀφροσύνη.
Ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται. ἣν ὁπότε Ζεὺς
  πέμψει τειρομένοις. ἄλλοτε ἄλλος ἔχει.
Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ
  Κύρν' ὀλίγης τιμῆς ἔμμορεν, ἐσθλὸς ἀνήρ.
Οὐδ' ἔτι γε πρέπει ἡμῖν ἅτ' ἀνδράσι σωζομένοισιν
  Λύψιν ὡς πόλεος τοῖχοι ἁλωσομένης.
Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα. σὺν οἷς ἐπ' ἀπείρονα πόντον
  πωτήσῃ, κατὰ γῆν πᾶσαν ἀειρόμενος
Ῥηϊδίως, θοίναις δὲ καὶ εἰλαπίνῃσι παρέσῃ
  ἐν πάσαις. πολλῶν κείμενος ἐν στόμασιν.
Καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
  Ἐν κόσμῳ ἐρατοὶ καλά τε καὶ λιγέα
Ἀίσονται, καὶ ὅταν δνοφεροῖς ὑπὸ κεύθμασι γαίης
  Βῇς πολυκωκύτους εἰς ἀΐδαο δόμους,
Οὐδέποτ' οὐ δὲ θανὼν ἀπολεῖς κλέος, οὐ δέ γε λήσεις.
  Ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα.
Κύρνε καθ' Ἑλλάδα γῆν στρωφώμενος, ἠδ' ἀνὰ νήσους,
  Ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον.
Οὐχ ἵππων νώτοισιν ἐφήμενος, ἀλλά σε πέμψει

Ἀγλαὰ μουσάων δῶρα ἰοστεφάνων.
Πᾶσι γὰρ, οἷσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδή.
Ἔσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.
Αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ τυγχάνω αἰδοῦς,
Ἀλλ' ὥσπερ μικρὸν παῖδα, λόγοις μ' ἀπατᾷς.
Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν,
Πρᾶγμα δὲ τερπνότατον, οὗ τις ἐρᾷ τὸ τυχεῖν.
Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη. ἀλλὰ κάκιστον
Ἄνδρα φέρω. καί μοι τοῦτ' ἀνιαρότατον.
Πολλάκι δὴ μέλλησα διαρρήξασα χαλινὸν.
Φεύγειν, ὠσαμένη τὸν κακὸν ἡνίοχον.
Οὔ μοι πίνεται οἶνος. ἐπεὶ παρὰ παιδὶ τερείνῃ
Ἄλλος ἀνὴρ κατέχει, πολλὸν ἐμοῦ κακίων.
Ψυχρόν μοι παρὰ τῇδε φίλοι πίνουσι τοκῆες,
Ὡς θ' ἅμα θ' ὑδρεύει, καί με γοῶσα φέρει.
Ἔνθα μέσην παρὰ παῖδα λαβὼν ἀγκῶνα, ἐφίλησα
Δειρήν, ἡ δὲ τέρεν φθέγγετ' ἀπὸ στόματος.
Γνωτὴ τοι πενίη, καὶ ἀλλοτρίη περ ἐοῦσα.
Οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας.
Πάντη γὰρ τοὔλασσον ἔχει, πάντη δ' ἐπίμικτος,
Πάντη δ' ἐχθρὰ ὁμῶς γίνεται ἔνθα περ ᾖ.
Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις,
Γῆρας τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν,
Τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου τε,
Καὶ πασέων νούσων ἐστὶ πονηρότατον.
Παῖδας ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράσχοις
Χρήματα δ' ἐγκαταθῇς, πόλλ' ἀνιαρὰ παθών.
Τὸν πατέρ' ἐχθαίρουσι. καταρῶνται δ' ἀπολέσθαι.
Καὶ στυγέουσ' ὥσπερ πτωχὸν ἐπερχόμενον.

Εἰκὸς τὸν κακὸν ἄνδρα, κακῶς τὰ δίκαια νομίζειν,
  Μηδεμίαν κατόπιν ἁζόμενον νέμεσιν.
Δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ παράπολλ' ἀνελέσθαι
  Πὰρ ποδὸς, ἡγεῖσθαι θ' ὡς καλὰ πάντα τιθεῖ.
Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τόνδε πρόβαινε,
  Μὴ θ' ὅρκῳ πίσυνος, μήτε συνημοσύνῃ.
Μὴ δ' εἰ Ζῆν' ἐθέλει παρέχειν βασιλῆα μέγιστον,
  Ἔγγυον ἀθανάτων, πιστὰ τιθεῖν ἐθέλων.
Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἁνδάνει οὐδέν.
  Ὡς δὲ τὸ σῶσαι, οἱ πολλοὶ ἀνολβότεροι.
Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίνεται ἐσθλὰ κακοῖσιν
  Ἀνδρῶν, γίνονται δ' ἐκτραπέλοισι νόμος.
Αἰδὼς μὲν γὰρ ὄλωλεν. ἀναιδείη δὲ καὶ ὕβρις
  Νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.
Οὐ δὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
  Καὶ κρατερόν περ ἐόνθ' αἱρεῖ ἀμηχανίη,
Κωτίλλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος.
  Φθεγγόμενος δ' ἀδαὴς οἷσι παρῇ μέλεται.
Ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις
  Ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.
Οὐδ' ἐθέλει φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται.
  Οὐδ' ἣν ἐκ γαστρὸς κύρνε μιᾶς γεγόνει.
Πικρὸς καὶ γλυκὺς ἴσθι, καὶ ἀργαλέος καὶ ἀπηνὴς
  Λάτρισι καὶ δμωσὶν γείτοσί τ' ἀγχιθύροις
Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν
  Τὸν δὲ κακὸν κινεῖν ἔστ' ἂν ἐς ὀρθὰ λάβῃς
Οἱ κακοὶ, οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν.
  Ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην.
Ἔργα τε δείλ' ἔμαθον καὶ ἔπη δύσφημα καὶ ὕβριν.

Ἐλπόμε-

Ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.
Ἐν μὲν συσσιτοῖσιν ἀνὴρ πεπνυμένος ἴσθι.
πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δόκει.
Εἰ δὲ φέρειν τὰ γελοῖα, θύρηφι δ' ἦ καρτερὸς εἴης,
γιγνώσκων ὀργὴν ἥν τιν' ἕκαστος ἔχει.
Ἐν μὲν μαινομένοις μάλα μαίνομαι. ἐν δ' ἦ δικαίοις,
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.
Πολλοί τοι πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται.
Ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον. ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ
χρήματα δ' ἀνθρώπων, ἄλλοτε ἄλλος ἔχει.
Κύρν' ἀγαθὸς μὲν ἀνὴρ, γνώμην ἔχει ἔμπεδον αἰεί.
τολμᾷ δ' ἔντ' ἀγαθοῖς κείμενος ἔντε κακοῖς.
Εἰ δ' ἦ θεὸς κακῷ ἀνδρὶ βίον, καὶ πλοῦτον ὀπάσσει,
Ἀφραίνων κακίην οὐ δύναται κατέχειν.
Μή ποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπολέσσῃς
πειθόμενος χαλεπῇ κύρνε διαβολίῃ
Εἴ τις ἁμαρτωλῆσι φίλων ἐπὶ παντὶ χολῷτο,
Οὔποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐ δὲ φίλοι
Εἶεν. ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται,
θνητοῖς κύρνε. θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.
Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων.
Κύρνε, σὺν εὐθείῃ θεῶν δίκῃ ἀθανάτων.
Ἥσυχος ὥσπερ ἐγὼ μέσσην ὁδὸν ἔρχεο ποσσὶ,
Μὴ δ' ἑτέροις διδοὺς κύρνε τὰ τῶν ἑτέρων,
Μή ποτε φεύγοντ' ἄνδρα ἐπ' ἐλπίδι κύρνε φιλήσεις
οὐ δὲ γὰρ, οἴκαδε βὰς γίνεται αὐτὸς ἔτι.
Μηδὲν ἄγαν σπεύδειν. πάντων μέσ' ἄριστα καὶ οὕτως
Κύρν' ἕξεις ἀρετὴν, ἥν τε λαβεῖν χαλεπόν.

σ 3 ζεὺς

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσι,
τῶν τ' ἐχθρῶν μεῖζον κύρνε δυνησόμενον.
Χ' οὕτως ἂν δοκέοιμι μετ' ἀνθρώπων θεὸς εἶναι.
Ἤν μ' ἀποτισάμενον μοῖρα κίχῃ θανάτου.
Ἀλλὰ ζεῦ τέλεσόν μοι ὀλύμπιε καίριον εὐχήν·
Δὸς δέ μοι ἀντὶ κακῶν, καί τι παθεῖν ἀγαθόν.
Τεθναίην δ' εἰ μή τι κακῶν ἄμπαυμα μεριμνῶν,
Εὑροίμην δοίην τ' ἀντ' ἀνιῶν ἀνίας.
Αἶσα γὰρ οὕτως ἐστί, τίσις δ' οὐ φαίνεται ἡμῖν
Ἀνδρῶν, οἳ τἀμὰ χρήματ' ἔχουσι βίῃ
Συλήσαντες, ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
Χειμάρρῳ ποταμῷ πάντ' ἀποσεισάμενος.
Τῶν εἴη μέλαν αἷμα πιεῖν, ἐπί τ' ἐσθλὸς ἄροιτο.
Δαίμων, ὃς κατ' ἐμὸν νοῦν τελέσειε τάδε.
Ὦ δειλὴ πενίη, τί μένεις, προλιποῦσα παρ' ἄλλον,
Ἄνδρ' ἰέναι; μὴ δή μ' οὐκ ἐθέλοντα φίλει;
Ἀλλ' ἴθι, καὶ δόμον ἄλλον ἐποίχεο, μὴ δὲ μεθ' ἡμῶν
Ἀεὶ δυστήνου τοῦ δὲ βίου μετέχε.
Τόλμα κύρνε κακοῖσιν ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
Εὖτέ σε καὶ τούτων μοῖρ' ἐπέβαλλεν ἔχειν.
Ὡς δὲ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν. ὣς δὲ καὶ αὖτις
Ἐκδῦναι πειρῶ, θεοῖσιν ἐπευχόμενος.
Μὴ δὲ λίην ἐπίφαινε. κακὸν δέ τι κύρν' ἐπιφαίνειν.
Παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.
Ἀνδρός τι κραδίη μινύθει μέγα πῆμα παθόντος
Κύρν', ἀποτινυμένου δ' αὔξεται ἐξοπίσω.
Εὖ κώτιλλε τὸν ἐχθρόν, ὅταν δ' ὑποχείριος ἔλθῃ
Τῖσαί νιν, πρόφασιν μηδεμίαν θέμενος.
Ἴσχε νόον. γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέστω.

Δειλῶν

Δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.
Οὐ δύναμαι γνῶναι νόον ἀστῶν ὅντιν' ἔχουσιν.
Οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω, οὔτε κακῶς.
Μωμεῦνται δέ με πολλοὶ ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί.
Μιμεῖσθαι δ' οὐδεὶς τῶν ἀσόφων δύναται.
Μή μ' ἀέκοντα βίῃ κεντῶν ὑπ' ἅμαξαν ἔλαυνε,
Εἰς φιλότητα λίην κύρνε προσελκόμενος.
Ζεῦ φίλε θαυμάζω σε. σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
Τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν,
Ἀνθρώπων δ' εὖ οἶσθα νόον, καὶ θυμὸν ἑκάστου,
Σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον βασιλεῦ,
Πῶς δὲ σεῦ κρονίδη τολμᾷ νόος ἄνδρας ἀλιτρούς
Ἐν ταυτῇ μοίρᾳ τόν τε δίκαιον ἔχειν,
Ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν,
Ἀνθρώπων, ἀδίκοις ἔργμασι πειθομένων.
Οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν.
Οὐδ' ὁδὸς ἣν τιν' ἰὼν ἀθανάτοισιν ἅδοι,
Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα. τοὶ δ' ἀπὸ δειλῶν.
Ἔργων ἴσχονται θυμὸν ὁμῶς πενίης.
Μητέρ' ἀμηχανίην ἔλαβον τὰ δίκαια φιλοῦντες.
Ἥ τ' ἀνδρῶν προάγει θυμὸν ἐς ἀμπλακίην.
Βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης,
Τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν.
Χρημοσύνῃ εἴκων. ἣ δὴ κακὰ πολλὰ διδάσκει,
Ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας.
Ἄνδρα καὶ οὐκ ἐθέλοντα. κακὸν δέ οἱ οὐδὲν ἔοικεν.
Ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην
Ἐν πενίῃ δ' ὅτε δειλὸς ἀνὴρ, ὅτε πολλὸν ἀμείνων,
Φαίνεται, εὖτ' ἂν δὴ χρημοσύνη κατέχῃ.

Τοῦ μὲν γὰρ τἄδικα φρονέει νόος, οὔτε πες αἰεὶ.
  Ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύκη
Τοῦ δ' αὖ οὔτε κακοῖς ἕπεται νόος, οὔτ' ἀγαθοῖσι.
  Τὸν δ' ἀγαθὸν. τολμᾶν, χρὴ τάτε καὶ τὰ, φέρειν.
Αἰδεῖσθαι δὲ φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους,
  Ἐντρέπεσθ' ἀθανάτων μῆνιν ἀλευάμενος.
Μηδὲν ἄγαν σπεύδειν. καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος,
  Ἔργμασιν ἀνθρώπων. πολλάκι δ' εἰς ἀρετὴν.
Σπεύδει ἀνὴρ, κέρδος διζήμενος, ὅν τινα δαίμων
  Πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει.
Καί οἱ ἔθηκε δοκεῖν ἃ μὲν ἦ κακὰ, ταῦτ' ἀγαθ' εἶναι
  Εὐμαρέως, ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά,
Φίλτατος ὢν ἥμαρτες, ἐγὼ δέ τοι αἴτιος οὐδέν.
  Ἀλλ' αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.
Οὐδένα θησαυρὸν παισὶ καταθήσῃ ἀμείνω,
  Αἰδοῦς ἥτ' ἀγαθοῖς ἀνδράσι κύρν' ἕπεται.
Μηδενὸς ἀνθρώπων κακίας δόκει εἶναι ἑταῖρος
  Ὧι γνώμηθ' ἕπεται κύρνε, καὶ ᾧ δύναμις.
Οἴνων δ' οὐχ οὕτως θωρύξομαι, οὐ δέ με οἶνος
  Ἐξάγει ὥς τ' εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.
Οὐδὲν ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν,
  Πιστὸν ἑταῖρον ὅτῳ μή τις ἔνεστι δόλος
Ἐς βάσανον δ' ἐλθὼν, παρατρίβομαι ὥς τε μολίβδῳ
  Χρυσὸς. ὑπερτερίης δ' ἄμμιν ἔνεστι νόος.
Πολλά με καὶ συνιέντα παρέρχεται, ἀλλ' ὑπ' ἀνάγκης
  Σιγῶ, γινώσκων ἡμετέρην δύναμιν.
Πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται
  Ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.
Πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον, ἄμεινον,

Ἐσθλὸν

Ἐσθλὸν δ' ἐξελθὸν λώϊον ἢ τὸ κακόν,
Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
Μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου,
Φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι.
Καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.
Φῦσαι καὶ θρέψαι ῥᾷον βροτὸν, ἢ φρένας ἐσθλὰς
Ἐνθέμεν. οὐδείς πω τοῦτό γ' ἐπεφράσατο
Ὅστις σώφρον' ἔθηκε τὸν ἄφρονα, καὶ κακοῦ ἐσθλόν
Εἰ δ' ἀσκληπιάδαις τοῦτο ἔδωκε θεός.
Ἰᾶσθαι κακότητα, καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
Πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον
Εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον, ἀνδρὶ νόημα
Οὔποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός.
Πειθόμενος μύθοισι σαόφροσιν, ἀλλὰ διδάσκων,
Οὔποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.
Νήπιος ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσι
τὸν δ' αὐτοῦ ἴδιον, οὐδὲν ἐπιστρέφεται.
Οὐδείς τοι πάντ' ἐστὶ πανόλβιος. ἀλλ' ὁ μὲν ἐσθλὸς
Τολμᾷ ἔχειν τὸ κακόν, κοὐκ ἐπίδηλος ὅμως,
Δειλὸς δ' οὔτε κακοῖσιν ἐπίσταται, οὔτ' ἀγαθοῖσιν
Θυμὸν ἔχων μίμνειν, ἀθανάτων δὲ δόσεις
Παντοῖαι θνητοῖσιν ἐπέρχοντ', ἀλλ' ἐπιτολμᾶν
Χρὴ δῶρ' ἀθανάτων οἷα διδοῦσιν ἔχειν.
Εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
Αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης.
Εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
Χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ.
Τοῦ χροιῆς καθύπερθε, μέλας οὐχ ἅπτεται ἰός
Οὐδ' εὐρώς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

Ἄνθρωπ᾽ εἰ γνώμης ἔλαχες μέρος ὥσπερ ἀνίης,
Καὶ σώφρων οὕτως ὥσπερ ἄφρων ἐγένου,
Πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶν δὲ πολιτῶν,
Οὕτως, ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ.
Οὔτοι σύμφερόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι,
Οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος.
Οὐδ᾽ ἀγκύρας ἔχουσιν. ἀποῤῥήξασα δὲ δεσμὰ
Πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.
Μή ποτ᾽ ἀπρήκτοισιν νόον ἔχε, μηδὲ μενοίνα
Χρήμασι, τῶν ἄνυσις γίγνεται οὐδεμία,
Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν, οὔτε τι δειλὸν
Οὔτ᾽ ἀγαθόν, χαλεπῷ δ᾽ ἔργματι κῦδος ἔχει.
Ἀμφ᾽ ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλα
Μηδὲ σε νικάτω κέρδος, ὅ τ᾽ αἰσχρὸν ἔοι.
Μηδένα τῶνδ᾽ ἀέκοντα μένειν κατέρυκε παρ᾽ ἡμῖν,
Μηδὲ θύραζε κέλευ, οὐκ ἐθέλοντ᾽ ἰέναι,
Μηδ᾽ εὕδοντ᾽ ἐπέγειρε Σιμωνίδη, ὅν τινα ἡμῶν
Θωρυχθέντ᾽ οἴνῳ μαλθακὸς ὕπνος ἕλοι.
Μηδὲ τὸν ἀγρυπνέοντα κέλευ ἀέκοντα καθεύδειν.
Πᾶν γὰρ ἀναγκαῖον χρῆμ᾽ ἀνιαρὸν ἔφυ.
Τῷ πίνειν δ᾽ ἐθέλοντι, παρασταδὸν οἰνοχοείτω,
Οὐ πάσας νύκτας γίγνεται ἁβρὰ παθεῖν.
Αὐτὰρ ἐγὼ μέτρον γὰρ ἔχω μελιηδέος οἴνου,
Ὕπνου λυσικάκου μνήσομαι, οἴκαδ᾽ ἰών.
Δείξω δ᾽ ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι,
Οὔτε τι γὰρ νήφω, οὔτε λίην μεθύω.
Ὃς δ᾽ ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκ ἔτι κεῖνος
Τῆς αὐτοῦ γλώσσης καρτερός, οὐδὲ νόου.
Μυθεῖται δ᾽ ἀπάλαμνα τὰ νήφουσ᾽ αἴδεται αἰσχρά.

Αἰδεῖται

Αἰδεῖται δ' ἕρδων οὐδὲν ὅταν μεθύῃ.
Τὸ πρὶν ἐὼν σώφρων, οὔτε νήπιος· ἀλλὰ σὺ ταῦτα
γιγνώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην.
Ἀλλ' ἢ πρὶν μεθύειν, ὑπανίστασο μή σε βιάσθω
γαστήρ, ὥς τε κακὸν λάτριν ἐφημέριον.
Ἢ παρεὼν μὴ πῖνε. σὺ δὲ ἔχε τοῦτο μάταιον.
Κοτύλης αἰεί, τοὔνεκά τοι μεθύεις.
Ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται,
τὴν δὲ θεοῖς σπένδεις, τὴν δ' ἐπὶ χειρὸς ἔχεις.
Ἀρνεῖσθαι οὐκ οἶδας, ἀνίκητος δέ τοι οὗτος,
ὃς πολλοὺς πίνων μή τι μάταιον ἐρεῖ.
Ὑμεῖς δ' εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
Ἀλλήλων ἔριδας δὴν ἀπερυκόμενοι.
Εἰς τὸ μέσον φωνεῦντες ὁμῶς ἑνὶ καὶ σὺν ἅπασι,
Χοὕτως συμπόσιον γίνεται οὐκ ἄχαρι.
Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος, οἶνος ὅταν δὴ
πίνηθ' ὑπὲρ τὸ μέτρον, κοῦφον ἔθηκε νόον.
Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες,
γινώσκουσ' ἀνδρὸς δ' οἶνος ἔδειξε νόον.
Καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον ἤρατο πίνων
ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.
Οἰνοβαρῶ κεφαλὴν Ὀνομάκριτε, καὶ με βιᾶται
οἶνος. ἀτὰρ γνώμης οὐκέτ' ἐγὼ ταμίης.
Ἡμετέρης. τὸ δὲ δῶμα περιτρέχει. ἀλλ' ἄγ' ἀναστὰς
Ποϱηθῶ. μή πως καὶ πόδας οἶνος ἔχῃ.
Καὶ νόον ἐν στήθεσσι. δέδοικα δὲ μή τι μάταιον
Ἔρξω θωρυχθείς, καὶ μέγ' ὄνειδος ἔχω.
Οἶνος πινόμενος πουλὺς κακόν· ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακὸν ἀλλ' ἀγαθόν.

Ἤλθες

Ἤλθες δ' ἢ κλεάριστε βαθὺν διὰ πόντον ἀνύσσας
Ἔνθα δ' ἐπ' οὐδὲν ἔχοντ' ὦ τάλαν οὐδὲν ἔχων
Νηός τοι πλευρῆσιν ὑπὸ ζυγὰ, θήσομεν ἡμεῖς,
Κλεάριστ' οἷ' ἔχομεν χ' οἷα διδοῦσι θεοί.
Τῶν δ' ὄντων τὰ ἄριστα παρέξομεν ἢν δέ τις ἔλθῃ
Σεῦ φίλος ὢν, κατάκεισ' ὡς φιλότητος ἔχεις.
Οὔτε τι τῶν ὄντων ἀποθήσομαι. οὔτε τι μεῖζον
Σῆς ἕνεκα ξενίης ἄλλοθεν οἰσόμεθα.
Ἢν δέ τις εἰρωτᾷ τὸν ἐμὸν βίον ὧδε οἱ εἰπεῖν,
Ὡς εὖ μὲν χαλεπῶς, ὡς χαλεπῶς δὲ μάλ' εὖ,
Ὥσθ' ἕνα μὲν ξεῖνον πατρώϊον οὐκ ἀπολείπειν,
Ξείνια δὲ πλέον ἐς οὐ δυνατὸς παρέχειν.
Οὐ δὲ μάτην ὦ πλοῦτε βροτοὶ τιμῶσι μάλιστα
Ἦ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.
Καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν,
Ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν.
Οἴμοι ἐγὼ ἥβης καὶ γήραος οὐλομένοιο,
Τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπανισαμένης.
Οὔτε τινὰ προὔδωκα φίλον, καὶ πιστὸν ἑταῖρον,
Οὔτ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι.
Αἰεί μοι φίλον ἦτορ ἀγάλλεται ὁππότ' ἀκούσω
Αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα.
Χαίρω δ' εὖ πίνων καὶ ὑπ' αὐλητῆρος ἀκούων,
Χαίρω δ' εὖ φθόγγον χερσὶ λύρην ὀχέων.
Οὔποτε δουλίη κεφαλὴ εὐθεῖα πέφυκεν.
Ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.
Οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται, οὔθ' ὑάκινθος,
Οὐδέ ποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.
Οὔ τις ἀνὴρ φίλε Κύρνε πέδας χαλκεύεται αὐτῷ

Εἰ μὴ

Εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.
Δειμαίνω μὴ τήνδε πόλιν πολυπαΐδη ὕβρις,
Ἥπερ κενταύρους ὠμοφάγους ὀλέσῃ.
Χρή με παρὰ στάθμην, καὶ γνώμην, τήνδε δικάσαι
Κύρνε δίκην ἶσόν τ' ἀμφοτέροισι δόμεν
Μάντεσιν οἰωνοῖς τε καὶ αἰθομένοις ἱεροῖσιν,
Ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.
Μηδένα πω κακότητι βιάζεο. τῷ δὲ δικαίῳ
Τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.
Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἀγείρει
Κύρν', ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.
Ἀλλ' ἵπποις ἔμβαλλε τανυπτερύγεσσι χαλινοὺς,
Δηΐων γὰρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω.
Οὐ πολλὸν τὸ μεσηγὺ διαπρήσσουσι κέλευθον,
Εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.
Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα
Πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.
Φράζεο κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς.
Ἄλλοτε πολλ' ἕξεις. ἄλλοτε παυρότερα.
Ὥστε σε μήτε λίην ἀφνειὸν κτεάτεσσι γενέσθαι.
Μήτε σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι.
Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πολλ' ἐπιδοῦναι,
Χρήματα τῶν ἐχθρῶν τοῖσι φίλοισιν ἔχειν.
Κεκλῆσθαι δ' ἐς δαῖτα παρέζεσθαι δὲ παρ' ἐσθλὸν,
Ἄνδρα χρεὼν σοφίην πᾶσαν ἐπιστάμενον.
Τοῦ συνιεῖν, ὁπόταν τι λέγῃ σοφὸν, ὄφρα διδαχθῇς.
Καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων, ἀπίῃς.
Ἥβῃ τερπόμενος παίζω. δηρὸν γὰρ ἔνερθεν,
Γῆς, ὀλέσας ψυχὴν κείσομαι ὥστε λίθος

Ἄφθογγος.

Ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο.
 Ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.
Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα. πεῖρα δ' ἄριστον,
 Πολλοὶ ἀπείρητον δόξαν ἔχουσ' ἀγαθῶν.
Εὖ ἔρδω εὖ πράττε τί κ' ἄγγελον ἄλλον ἰάλλεις;
 Τῆς εὐεργεσίης ῥηϊδίη ἀγγελίη.
Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι,
 Ὥστε κυβερνήτης χοιράδας εἰναλίας.
Ῥηΐδιον δ' ἐξ ἀγαθοῦ θεῖναι κακὸν ἢ ἐκ κακοῦ ἐσθλόν,
 Μή με δίδασκ' οὔτοι τηλίκος εἰμὶ μαθεῖν.
Ἐχθαίρω κακὸν ἄνδρα, καλυψαμένη δὲ πάρειμι.
 Μικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.
Ἐχθαίρω δὲ γυναῖκα περίδρομον, ἄνδρα τε μάργον
 Ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.
Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχαν' ἔνεστι γενέσθαι,
 Ἔργα. τὰ δ' ἐξοπίσω τῇ φυλακῇ μελέτω.
Πᾶσί τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε
 Ποῖ σχήσειν μέλλει πρήγματος ἀρχομένου.
Ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρόμενος οὐ προνοήσας
 Εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.
Τῷ δὲ καλῶς ποιεῦντι, θεὸς περὶ πάντα τίθησι,
 Συντυχίην ἀγαθὴν ἔκλυσιν ἀφροσύνης.
Τολμᾶν χρὴ τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσι,
 Ῥηϊδίως δὲ φέρειν, ἀμφοτέρων τὸ λάχος.
Μήτε κακοῖσι νοσῶν λυποῦ φρένα, μήτ' ἀγαθοῖσι
 Τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.
Ἄνθρωπ' ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι.
 Πλὴν τούτου, παντὸς χρήματός ἐστι κόρος.
Δὴν δὴ καὶ φίλοι ὦμεν ἀτάρ τ' ἄλλοισιν ὁμίλει,
 Ἀνδράσιν,

Ἀνδράσιν, οἳ τὴν σὴν μᾶλλον ἴσασι νόον,
Οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτὸν ἣν ἄρα καὶ πρὶν
  Ἠλάστρεις, κλέπτων ἡμετέρην φιλίην.
Ἔρρε θεοῖσί τ' ἐχθρὲ, καὶ ἀνθρώποισιν ἄπιστε,
  Ψυχρὸν ὃς ἐν κόλπῳ ποικίλον εἶχες ὄφιν.
Τοιάδε καὶ μάγνητας ἀπώλεσεν ἔργα, καὶ ὕβρις,
  Οἷα τὰ νῦν ἱερὴν τήνδε πόλιν κατέχει.
Πολλῷ τοι πλείονας λιμοῦ κόρος ὤλεσεν ἤδη,
: Ἄνδρας ὅσοι μοίρης πλέον ἔχειν ἔθελον.
Ἀρχῇ ἔπι ψεύδους, μικρὴ χάρις, ἐς δὲ τελευτὴν
  Αἰσχρὸν δὴ κέρδος, καὶ κακὸν ἀμφότερον.
Γίνεται οὐδέ τι καλὸν, ὅτῳ ψεῦδος προσομαρτεῖ,
  Ἀνδρὶ, κἂν ἐξέλθῃ πρῶτον ἀπὸ στόματος,
Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὐτὸν,
  Αἰνῆσαι, δειλοῖς ἀνδράσι ταῦτα μέλει.
Σιγᾶν δ' οὐκ ἐθέλουσι κακοὶ, κακὰ λεσχάζοντες,
  Οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν
Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα,
  Τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.
Οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται,
  Πολλὸν γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.
Πόλλ' ἐν ἀμηχανίοισι κυλίνδομαι, ἀχνύμενος κῆρ,
  Ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν.
Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρὸν,
  Πᾶσιν ἀνθρώποις, αὐτὸς ἔνεστι νόος.
Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασι.
  Παντοῖαι δ' ἀρεταὶ, καὶ βιότου παλάμαι,
Ἀργαλέον φρονέοντα, παρ' ἄφροσι πολλ' ἀγορεύειν,
  Καὶ σιγᾶν αἰεὶ, τοῦτο γὰρ οὐ δυνατόν.

Αἰσχρόντοι

Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσ' εἶναι.
Αἰσχρὸν δ' εἰ νήφων πὰρ μεθύουσι μένει.
Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς,
Πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην,
Ὦ πόποι μὴ θυμοῦ κρεσσῶν νόος, αἰὲν ἐν ἄταισ
Κύρνε ταν, καὶ μεγάλαις κεῖται ἐν ἀμπλακίαις.
Βουλεύου δὶς καὶ τρὶς ὅ,τοι κ' ἐπὶ τὸν νόον ἔλθοι.
Ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.
Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς
Οὐ νῦν μὲν πολλοῖς, ἀτρεκέως δ' ὀλίγοις.
Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι,
Οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.
Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίνεται εὖρεῖν.
Ἔργ' ἀνδρῶν, βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος.
Οὔ τοι κήδει ὁ εἰς, οὔτ' εὔνουν, οὔτε τὸν ἐχθρὸν,
Εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις.
Πολλοὶ πὰρ κρητῆρι φίλοι γίνονται ἑταῖροι.
Ἐν δὲ σπουδαίῳ πρήγματι, παυρότεροι.
Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους,
Κείμενος ἐν μεγάλῃ θυμοῦ ἀμηχανίῃ.
Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
Αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.
Ὦ δειλὴ πενίη, τί ἐμοῖσι καθημένη ὤμοις,
Σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον.
Αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ καὶ πολλὰ διδάσκεις,
Ἐσθλὰ παρ' ἀνθρώπων καὶ καλ' ἐπιστάμενον.
Εὐδαίμων εἴην, καὶ θεοῖς φίλος ἀθανάτοισι
Κύρν' ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.
Σὺν σοὶ Κύρνε παθόντι κακῶς ἀνιώμεθα πάντες,

Ἀλλά

Ἀλλά τι ἀλλότριον κῦδος ἐφημέριον.
Μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα, μηδ' ἀγαθοῖσι
Χαῖρ' ἐπεὶ ἔστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.
Οὐδ' ὀμόσαι χρή, τοῦτο τί μή ποτε πρῆγμα τόδ' ἔσαι,
Θεοὶ καὶ γὰρ νεμεσῶσ' οἷσιν ἔπεστι τέλος.
Καὶ πρῆξαι μέν τοι τι, καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο,
Καὶ κακὸν ἐξ ἀγαθοῦ, καί τε πενιχρὸς ἀνήρ.
Αἶψα μάλ' ἐπλούτησε, καὶ ὃς μάλα πολλὰ πέπασαι,
Ἐξαπίνης, πάντ' οὖν ὤλεσε νυκτὶ μιᾷ.
Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
Ἕσπετο, καὶ τιμὴν καὶ κακὸς ὢν ἔλαχεν.
Εἰ μὲν χρήματ' ἔχοιμι Σιμωνίδη οἷά περ ᾔδειν,
Οὐκ ἂν ἀνιῴμην τοῖς ἀγαθοῖσι συνών.
Νῦν δέ με γινώσκοντα παρέρχεται. εἰμὶ δ' ἄφωνος
Χρημοσύνῃ, πολλῶν γνούς περ ἄμεινον ἔτι.
Οὕνεκα νῦν φερόμεσθα, καθ' ἱστία λευκὰ βαλόντες,
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν.
Ἀντλεῖν δ' οὐκ ἐθέλουσιν. ὑπερβάλλει δὲ θάλασσα
Ἀμφοτέρων τοίχων, ἦ μάλα τις χαλεπῶς,
Σώζεται. οἷ' ἔρδουσι, κυβερνήτην μὲν ἔπαυσαν,
Ἐσθλὸν γ', ὃς φυλακὴν εἶχεν ἐπισταμένως.
Χρήματα δ' ἁρπάζουσι βίῃ. κόσμος δ' ἀπόλωλε,
Δασμὸς δ' οὐκέτ' ἴσως γίγνεται εἰς τὸ μέσον.
Φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν.
Δειμαίνω μή πως ναῦν κατὰ κῦμα πίῃ.
Ταῦτά μοι ᾐνίχθω κεκρυμμένα τοῖς ἀγαθοῖσι
Γιγνώσκοι δ' ἄν τις καὶ κακὸν ἂν σοφὸς ᾖ.
Πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες. οἱ δὲ τὰ καλὰ
Ζητοῦσι χαλεπῇ τειρόμενοι πενίῃ,

Ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται,
Εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.
Οὐκ ἔστι θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι,
Οὐδὲ δίκην εἰπεῖν, οὐδενὶ τοῦτο θέμις.
Οὐ χρὴ ποιμαίνειν ὅτι μὴ ποιμαντέον εἴη.
Οὐδ' ἔρδειν, ὅτι μὴ λῷον ᾖ τελέσαι.
Χαίρων εὐτελέσειας ὁδὸν μεγάλου διὰ πόντου.
Καί σε Ποσειδάων χάρμα φίλοις ἀγάγοι.
Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφρονέοντας,
Γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.
Οὐ δύναμαί σοι θυμὲ παρασχεῖν ἄρμενα πάντα,
Τέτλαθι, τῶν δὲ καλῶν, οὔτι σὺ μόνος ἐρᾷς,
Εὖ μὲν ἔχοντος ἐμοῦ, πολλοὶ φίλοι, ἢν δέ τι δεινόν,
Ἐγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.
Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίνεται ἥδε
Πλουτεῖν, τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος,
Οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
Πλείονα δ' εἰδείης Αἰολίδου Σισύφου,
Ὅστε καὶ ἐξ Ἀΐδαο πολυϊδρείῃσιν ἀνῆλθεν,
Πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
Ἥτε βροτοῖς παρέχει λήθην βλάπτουσα νόημα,
Ἄλλος δ' οὔπω τις τοῦτο γ' ἐπεφράσατο,
Ὅντινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψοι,
Ἔλθοι δ' ἐς κρυερὸν χῶρον ἀποφθιμένων,
Κυανέας τε πύλας παραμείψεται, αἵτε θανόντων
Ψυχὰς εἴργουσιν, καί περ ἀναινομένας.
Ἀλλ' ἄρα κἀκεῖθεν Σίσυφος πάλιν ἤλυθεν ἥρως
Ἐς φάος ἠελίου σφῇσι πολυφροσύναις,
Οὐδ' εἰ ψεύδεα μὲν ποιεῖς ἐτύμοισιν ὁμοῖα,

Γλῶσσαν

Γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
Ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν ἁρπυιῶν,
καὶ παίδων Βορέου, τῶν ἄφαρ εἰσὶ πόδες.
Ἀλλά γε χρὴ πάντας γνώμην ταύτην καταθέσθαι
Ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.
Ἶσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστι
καὶ χρυσὸς, καὶ γῆς πυροφόρου πεδία,
Ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ τὰ δέοντα πάρεστι.
Γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν.
Παιδός τε καὶ γυναικὸς, ὅταν δέ κε τῶν ἀφίκηται.
Ὥρη, σὺν δ' ἥβη γίγνεται ἁρμόδιος.
Ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
Χρήματ' ἔχων, οὐδεὶς ἔρχεται εἰς ἀΐδην,
Οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι. οὐδὲ βαρείας,
Νούσους, οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.
Ζεῦ πάτερ εἴθε γένοιτο θεοῖς φίλα, τοῖς μὲν ἀλιτροῖς
Ὕβριν ἁδεῖν. καί σφιν τοῦτο γένοιτο φίλον,
Θυμῷ σχέτλια ἔργα μετὰ φρεσὶ δ' ὅστις ἀθήνης,
Ἐργάζοιτο, θεῶν μηδὲν ὀπιζόμενος
Αὐτὸν ἔπειτα πάλιν τίσαι κακὰ μὴ δέ τ' ὀπίσω
Πατρὸς ἀτασθαλίη παισὶ γένοιτο κακόν.
Παῖδες δ' οἵτ' ἀδίκου πατρὸς, τὰ δίκαια, νοεῦντες
Ποιοῦσι, Κρονίδη σὸν χόλον ἁζόμενοι,
Ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες,
Μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων,
Ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα. νῦν δ' ὁ μὲν ἔρδων,
Ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.
Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον;
Ἔργων, ὅστις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,

Μή τιν' ὑπερβασίην κατέχων, μηθ' ὄγκον ἀλιξὼν,
  Ἀλλὰ δίκαιος ἐὼν μὴ τὰ δίκαια πάθῃ.
Τίς δή κεν βροτὸς ἄλλος ὁρῶν πρὸς τοῦτον, ἔπειτα
  Ἅζοιτ' ἀθανάτους, καὶ τίνα θυμὸν ἔχων;
Ὁππότ' ἀνὴρ ἄδικος, καὶ ἀτάσθαλος, οὔτε τευ ἀνδρὸς,
  Οὔτε τι ἀθανάτων μῆνιν ἀλευόμενος.
Ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
  Τρύχονται, χαλεπῇ τειρόμενοι πενίῃ.
Ταῦτα μαθὼν φίλ' ἑταῖρε δικαίως χρήματα ποιοῦ,
  Σώφρονα θυμὸν ἔχων, ἐκτὸς ἀτασθαλίης.
Αἰεὶ τῶν δ' ἐπέων μεμνημένος, ἐς δὲ τελευτὴν,
  Αἰνήσεις, μύθῳ σώφρονι πειθόμενος.
Ζεὺς μὲν τῆσδε πόληος ὑπερέχοι, αἰθέρι ναίων,
  Αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ.
Ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί. αὐτὰρ Ἀπόλλων
  Ὀρθῶσαι γλῶσσαν καὶ νόον ἡμέτερον.
Φόρμιγξ δ' αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλός.
  Ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι.
Πίνωμεν χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
  Μηδὲν τὸν μήδων δειδιότες πόλεμον.
Ὧδ' εἶναι, καὶ ἀμείνονα εὔφρονα θυμὸν ἔχοντας,
  Νόσφι μεριμνάων εὐφροσύνως διάγειν
Τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι
  Γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.
Χρὴ μουσῶν θεράποντα καὶ ἄγγελον, εἴ τι περισσὸν
  Εἰδείη σοφίης, μὴ φθονερὸν τελέθειν.
Ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν.
  Τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος;
Φοῖβ' ἄναξ. αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην.

Ἀλκαθόῳ

Ἀλκαθόῳ πέλοπος παιδὶ χαριζόμενος,
Αὐτὸς δὲ στρατὸν ὑβριστὴν μήδων ἀπέρυκε.
 Τῆσδε πόλευς, ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ,
Ἦρος ἐπερχομένου, κλειτὰς πέμπωσ' ἑκατόμβας,
 Τερπόμενοι κιθάρῃ καὶ ἐρατῇ θαλίῃ,
Παιάνων τε χοροῖς ἰαχαῖσί τε σὸν περὶ βωμόν.
 Ἦ γὰρ ἔγωγε δέδοικ' ἀφραδίην ἐσορῶν,
Καὶ στάσιν ἑλλήνων λαοφθόρων, ἀλλὰ σὺ φοῖβε.
 Ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.
Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς σικελήν ποτε γαῖαν,
 Ἦλθον δ' εὐβοίης ἀμπελόεν πεδίον.
Σπάρτην τ' εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ,
 Καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον,
Ἀλλ' οὔτις μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
 Οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.
Μή ποτέ μοι μελέδημα νεώτερον ἄλλο φανείη.
 Ἀντ' ἀρετῆς σοφίης, ἀλλὰ τὸ δ' αἰὲν ἔχων,
Τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ,
 Καὶ μετὰ τῶν ἀγαθῶν. ἐσθλὸν ἔχοιμι νόον.
Μήτε τινὰ ξεῖνον δηλεύμενος ἔργμασι λυγροῖς
 Μήτε τιν' ἐν δήμων, ἀλλὰ δίκαιος ἐών.
Τὴν σαυτοῦ φρένα τέρπε δυσηλεγέων δὲ πολιτῶν
 Ἄλλος τοῖς σε κακῶς. ἄλλος ἄμεινον ἐρεῖ.
Τοὺς ἀγαθοὺς, ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ,
 Τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία.
Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίγνεται οὐδείς.
 Ἀλλ' ὡς λῷον, ὃν μὴ πλεόνεσσι μέλει.
Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν
 Ὅστις πᾶσιν ἁδὼν δύσεται εἰς ἀΐδου

Οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης θνητοῖς πᾶσιν ἁδεῖν δύναται.
Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν
εὐθύτερον χρὴ μὲν Κύρνε φυλασσόμενον,
ᾯτινί κεν Πυθῶνι θεοῦ χρήσας' ἱέρεια
ὀμφὴν σημήνῃ πίονος ἐξ ἀδύτου.
Οὔτε τι γὰρ προσθεὶς οὐδέν κε τι φάρμακον εὕροις,
οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.
Χρῆμ' ἔπαθον, θανάτου μὲν ἀεικέος οὔτι κάκιον,
τῶν δ' ἄλλων πάντων Κύρν' ἀνιηρότατον.
Οἵ με φίλοι προὔδωκαν, ἐγὼ δ' ἐχθροῖσι πελασθεὶς
εἰδήσω καὶ τῶν, ὅντιν' ἔχουσι, νόον.
Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων,
ἴσχει, κωτίλλειν καίπερ ἐπιστάμενον.
Κύρν' ἔμπης δ' ὅτι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι,
ὅττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν,
Ἐς πολὺ ἄρρηκτον κακὸν ἥκομεν, ἔνθα μάλιστα.
Κύρνε σὺν ἀμφοτέρους μοῖρα λάβοι θανάτου.
Οἳ δ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας.
τούτων τοι χώρη Κύρν' ὀλίγη τελέθει.
Μήτε τιν' αὔξε τύραννον ἐπ' ἐλπίσι κέρδεος εἶναι.
μήτε κτεῖναι, θεῶν ὅρκια συνθέμενος.
Πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
θυμός. γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
Ἥ τε τρέφει καρποῖσιν ἐν εἰλαπίναις, φορέοντας
ξανθῇσί τε κόμαις, πορφυρέους στεφάνους.
Ἀλλ' ἄγε δὴ σκύθα κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον
πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.

Πίστει

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα.
 Γνώμη δ' ἀργαλέη γίνεται ἀμφοτέρων.
Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθορᾷ. οὐδέ τις ἡμῶν
 Αἴτιος ἀθανάτων κύρνε θεῶν μακάρων,
Ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα πολλά, καὶ ὕβρις
 Πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλεν.
Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσι,
 Δίψα λυσιμελὴς καὶ μέθυσις χαλεπή.
Τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
 Οὔτε τι μὴ πίνειν οὔτε λίην μεθύειν.
Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστος,
 Εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγει.
Ἀλλ' ὁπόταν καθύπερθεν ἐὼν ὑπένερθε γένηται,
 Τουτάκις οἴκαδ' ἴμεν παυσάμενοι πόσιος.
Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν,
 Εὖ δὲ θέμεν τὸ καλῶς κείμενον, ἀργαλέον.
Λὰξ ἐπίβαινε δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
 Ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει.
Οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
 Ἀνθρώπων ὁπόσους ἠέλιος καθορᾷ.
Ζεὺς ἄνδρ' ἐξολέσειεν ὀλύμπιος, ὃς τὸν ἑταῖρον
 Μαλθακὰ κωτίλλων, ἐξαπατᾶν ἐθέλει.
Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώονα νῦν
 Τοὔνεκα τοῖς δειλοῖς οὐδεμί' ἐστὶ χάρις.
Πολλάκις ἡ πόλις ἥδε δι' ἡγεμόνων κακότητα,
 Ὥσπερ κεκλιμένη ναῦς παρὰ γῆν ἔδραμε.
Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δεινὸν ἔχοντα
 Αὐχέν' ἀποστρέψας, οὐδ' ἐσορᾶν ἐθέλει.
Ἢν δέ τί μοι ποθὲν ἐσθλὸν ἃ παυράκι γίνεται ἀνδρί,

Πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω
Οἵ με φίλοι προδιδοῦσι καὶ οὐκ ἐθέλουσί τι δοῦναι
Ἀνδρῶν φαινομένων. ἀλλ' ἐγὼ αὐτομάτη
Ἑσπερίη τ' ἔξειμι. καὶ ὀρθρίη αὖτις ἔσειμι
Ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.
Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
Ἐσθλὸν, ὃς οὔθ' αὐτῷ βέλτερος οὐδὲν ἐὼν,
Οὔτε φίλοις, ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται,
Αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σάοι.
Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν
Χάλκεος, ἀνθρώπων δεῖμα παλαιγενέων,
Εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω οἵ με φιλεῦσι.
Τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.
Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι, οὐδέ σε πάμπαν
Οὔτε ποτ' ἐχθαίρειν, οὔτε φιλεῖν, δύναμαι.
Ἐσθλὸς καὶ κακὸς ἐσσί. τίς ἄν σέ γε μωμήσαιτο.
Τίς δ' ἂν ἐπαινήσῃ μέτρον ἔχων σοφίης;
Πῖν' οἶνον, τὸν ἐμῆς κορυφῆς Ταϋγέτοιο
Ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
Οὔρεος ἐν βήσσῃσι θεοῖσι φίλος θεότιμος,
Ἐκ πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων,
Τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας
Θωρυχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος.
Εἰρήνη καὶ πλοῦτος ἔχει πόλιν, ὄφρα μετ' ἄλλων
Κωμάζοιμι. κακοῦ δ' οὐκ ἔραμαι πολέμου
Μὴ δὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος,
Οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.
Ἀλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα,
Ἵππων, μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν,

Ὤ μοι

Οἴμοι ἀναλκίης. ἀπὸ μὲν κήρυνθος ὄλωλε,
 Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον.
Οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν
 Ὡς κυψελλίζον Ζεὺς ὀλέσῃ γένος.
Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει ἔν γε ἑαυτῷ,
 Οὐδ' ἀγνωμοσύνης κύρν' ἀνιηρότερον.
Κύρνε, μὴ πάντ' ἄνδρεσσι καταθνητοῖς χαλεπαίνειν,
 Γιγνώσκων, ὡς νοῦν οἷον ἕκαστος ἔχει.
Αὐτὸς ἐνὶ στήθεσσι καὶ ἔργματα τῶν δὲ δικαίων,
 Τῶν τ' ἀδίκων, μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.
Ἔστι τὸ μὲν χεῖρον, τὸ δ' ἄμεινον γ' ἔργον ἑκάστου.
 Οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός,
Ὅστις ἀνάλωσιν τηρεῖ καταχρήματα θηρῶν
 Κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
Εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις,
 Ἤμελλ' ἐκτελέσας εἰς ἀΐδαο περᾶν,
Εἰκὸς ἂν ἦν ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνε,
 Φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον.
Νῦν δ' οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρε,
 Καὶ δάκνομαι ψυχὴν. καὶ δίχα θυμὸν ἔχω,
Ἐν τριόδῳ ἕστηκα. δύ' εἰσὶ πρόσθεν ὁδοί μοι.
 Φροντίζω τούτων ἥν τιν' ἴω προτέρην.
Ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
 Ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
Εἶδον μὲν γὰρ ἔγωγ' ὃς ἐφείδετο κοὔποτε γαστρὶ
 Σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου,
Ἀλλὰ πρὶν ἐκτελέσαι, κατέβη δόμον ἄϊδος εἴσω.
 Χρήματα δ' ἀνθρώπων οὔπι τυχὼν ἔλαβεν.
Ὥστ' ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν ᾧ κ' ἐθέλοι τις,

Εἶδον δ' ἄλλον ὃς ἦν γαστρὶ χαριζόμενος,
χρήματα μὲν διέτριψεν ἔφη δ' ὑπάγω φρένα τέρψας
πτωχεύει δὲ φίλους πάντας ὅπου τιν' ἴδῃ.
Οὕτω δημόκλεις κατὰ χρήματ' ἄριστον ἁπάντων
τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
Οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ κάματον μεταδοίης,
οὔτ' ἂν πτωχεύων, δουλοσύνην τελέοις.
Οὐδ' εἰ γῆρας ἵκοιτο τὰ χρήματα πάντ' ἀποδραίη,
ἐν δὲ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
Εἰ μὲν γὰρ πλουτεῖς πολλοὶ φίλοι. ἢν δὲ πένηαι
παῦροι. οὐκέθ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.
Φείδεσθαι μὲν ἄμεινον. ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
οὐδεὶς. ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.
Παύροις ἀνθρώπων ἀρετή, καὶ κάλλος ὀπηδεῖ.
ὄλβιος ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
Πάντες μὲν τιμῶσιν ὁμῶς ἴσοι οἵ τε κατ' αὐτὸν,
εἴκουσι χώρης οἵ τε παλαιότεροι.
Οὐ δύναμαι φωνῇ λιγύρ' ἀειδέμεν ὥσπερ ἀηδών
καὶ γὰρ τὴν προτέραν νύκτ' ἐπὶ κῶμον ἔβην.
Οὐδὲ τὸν αὐλητὴν προφασίζομαι, ἀλλά μ' ἑταῖρος
ἐκλείπει σοφίης οὐκ ἐπιδευόμενος.
Ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστὰς.
Δεξιὸς, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.
Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδὸν οὐδετέρωσε
κλινόμενος. χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.
Πατρίδα κοσμήσω λιπαρὴν πόλιν. οὔτ' ἐπὶ δήμῳ
τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.
Νεβρὸν ὑπ' ἐξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθὼς,
ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον

Ταχέων δ' ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα,
 ζευξάμενος δ' ἵππους ἅρματος οὐκ ἐπέβην.
Πρήξας δ' οὐκ ἔπρηξα. καὶ οὐκ ἐτέλεσσα τελέσσας,
 Δρήσας δ' οὐκ ἔδρησ' ἤνυσα δ' οὐκ ἀνύσας.
Δειλοὺς δ' εὖ ἔρδοντι δύω κακά, τῶν τε γὰρ αὐτοῦ
 χηρώσει πολλῶν καὶ χάρις οὐδεμία.
Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
 χρήζων ἡμετέρους αὖτις ἵκοιο δόμους.
Ἔς τε μὲν αὐτὸς ἔπιον ἀπὸ κρήνης μελανύδρου,
 Ἡδύ τί μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ.
Νῦν δ' ἤδη τεθόλωται ὕδωρ δ' ἀναμίσγεται ὕδει,
 Ἄλλης δὲ κρήνης πίομαι ἢ ποταμοῦ.
Μή ποτ' ἐπαινήσῃς πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
 Ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅστις ἂν ᾖ.
Πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
 Κρύπτουσ' ἐνθέμενοι θυμὸν ἐφημέριον.
Τούτων δ' ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.
 Καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην,
Ἔφθην δ' αἰνήσας πρὶν σοῦ κατὰ πάντα δαῆναι
 Ἤθεα. νῦν δ' ἤδη ναῦς ἅθ' ἑκὰς διέχω.
Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι.
 Πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.
Οὐδεὶς ἀνθρώπων, ὃν ἐπεί ποτε γαῖα καλύψει,
 Εἴς τ' ἔρεβος καταβῇ, δῶμά τε περσεφόνης,
Τέρπεται, οὔτε λύρης, οὔτ' αὐλητῆρος ἀκούων,
 Οὔτε διωνύσου δῶρ' ἐσαειράμενος.
Ταῦτ' ἐσορῶν κραδίῃ εὖ πείσομαι, ὄφρα τ' ἐλαφρὰ
 Γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.
Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ.

χερσίν

Χερσίν τε ψεύδοι, χρήμασι τ' ἀμφότερα.
Μηδὲ παρὰ κρητῆρσι, λόγοισιν ἐμὴν φρένα τέρποι,
Ἀλλ' ἔρδων φαίνοιτ' εἴ τι δύναιτ' ἀγαθόν.
Ἡμᾶς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν.
Ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
Αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη,
Οὐδ' ἵππων ὁρμὴ γίνεται ὠκυτέρη.
Αἵ τέ ποτ' ἄνδρα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
Λάβρως. πυροφόρῳ τερπόμεναι πεδίῳ.
Πῖν' ὁπόταν πίνωσιν, ὅταν τοι θυμὸν ἀσηθῇς,
Μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.
Ἄλλοτε τοί πάσχων ἀνιήσεαι ἄλλοτε δ' ἔρδων
Χαιρήσειν δύνασαι, ἄλλοτε τ' ἄλλος ἀνήρ.
Εἴθε ἴης ἀκάδημε ἐφίμερον ὕμνον ἀείδειν,
Ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων
Σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηρισάντοιν,
Γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.
Ἦμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους,
Ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων.
Δείπνου τε λήγοιμεν ὅπου τινὰ θυμὸς ἀνώγει.
Παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
Χέρνιβα δ' αἶψα θύραζε φέριστε φανώμεθα δ' ἤσοι.
Εὐειδὴς ῥαδιναῖς χερσὶ λάκαινα κόρη,
Ἡ δ' ἀρετὴ τὸ δ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον.
Κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ σοφῷ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ
Ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.
Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
Ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ

Τῶν

Τῶν αὑτοῦ κτεάνων εὖ παχέμεν, οὐ γὰρ ἀνηβᾶν
Δὶς πέλεται πρὸς θεῶν, οὐδὲ λύσις θανάτου
Θνητοῖς ἀνθρώποισι. κακὸν δ' ἐπὶ γῆρας ἐλέγχει.
Οὐλόμενον. κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.
Ὡς μάκαρ εὐδαίμων τε καὶ ὄλβιος ὅστις ἄπειρος
Ἄθλων, εἰς ἄδου δῶμα μέλαν κατέβη.
Πρίν τ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκῃ,
Ἐξετάσαι τε φίλους ὅντιν' ἔχουσι νόον.
Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
Πτοιοῦμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης,
Τερπνὸν ὁμῶς καὶ καλὸν ἐπεὶ πλέον ὤφελεν εἶναι.
Ἀλλ' ὀλιγοχρόνιον γίνεται ὥσπερ ὄναρ.
Ἥβη τιμήεσσα. τὸ δ' οὐλόμενον καὶ ἄμορφον
Αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.
Οὔποτ' ἐν τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
Δύσλοφον. οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρη.
Δειλοῖς τοι κακότητι ματαιότεροι γόοι εἰσὶ
Τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.
Ῥηΐδιη τε πρῆξις ἐν ἀνθρώποις κακότητος.
Τοῦ δ' ἀγαθοῦ χαλεπὴ κύρνε πέλει παλάμη.
Τόλμα θυμὲ κακοῖσιν ὁμῶς ἄτλητα πεπονθώς,
Δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη.
Μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
Ἔχθει, μηδ' ἄχθου. μηδὲ φίλους ἀνία.
Μηδ' ἐχθροὺς εὔφραινε, θεῶν δ' εἱμαρμένα δῶρα
Οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.
Οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης.
Οὔθ' ὅταν αὐτὸν ἔχῃ τάρταρος ἠερόεις.
Ἄνδρα τοι ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι.

Ὡς

Ὡς ἐν ἐμῇ γνώμῃ Κύρνε πάλαι κέκριται
Ἡδέα μὲν καὶ πρόσθεν ἀτὰρ πολὺ λώϊον ἤδη.
Οὕνεκα τοῖς δειλοῖς οὐδεμί᾽ ἐστὶ χάρις
Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτινες οἶνον
Μὴ πίνουσ᾽ ἄστρου καὶ κυνὸς ἀρχομένου.
Δεῦρο σὺν αὐλητῆρι παρακλαίοντι γελῶντες
Πίνωμεν. κείνου κήδεσι τερπόμενοι
Εὕδωμεν. φυλακὴ δὲ πόλευς φυλάκεσσι μελήσει
Ἀστυφέλης ἐρατῆς πατρίδος ἡμετέρης
Ναὶ μὰ Δί᾽ εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
Ἡμέτερον μῶμον δέξεται ἀργαλέως.
Νῦν μὲν πίνοντες τερπώμεθα καλὰ λέγοντες
Ἅσσα δ᾽ ἔπειτ᾽ ἔσται ταῦτα θεοῖσι μέλει.
Σοὶ δ᾽ οἷά τε παιδὶ φίλῳ ὑποθήσομαι αὐτὸς
Ἐσθλά. σὺ δ᾽ ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλε,
Μή ποτ᾽ ἐπειγόμενος πρήξῃς κακὸν ἀλλὰ βαθείῃ.
Σῇ φρενὶ βούλευσαι, σῷ ἀγαθῷ τε νόῳ
Τῶν γὰρ μαρναμένων μάχεται θυμός τε νόος τε.
Βουλὴ δ᾽ ἐς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει
Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σὺ,
Αὔλει. καὶ Μουσῶν μνησόμεθ᾽ ἀμφότεροι.
Αὗται γὰρ τάδ᾽ ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα.
Σοὶ καὶ ἐμοὶ μὴν ἢ ἀμφιπερικτύοσιν.
Τιμᾷ γὰρ Ἀπόλλων ὀργὴν ἀπάτερθεν ὁρῶντι
Γινώσκειν χαλεπὸν καί περ ἐόντι σοφῷ.
Οἱ μὲν γοῦν κακότητα κατακρύψαντες ἔχουσι
Πλούτῳ τοὶ δ᾽ ἀρετὴν οὐλομένῃ πενίῃ.
Ἐμοὶ δ᾽ ἥβη παρὰ μὲν ξυνομήλικι κάλλιον εὕδειν
Ἱμερτῶν ἔργων ἐξέρον ἱέμενον.

Ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν
τούτων οὐδέν τοι ἄλλ' ἐπιτερπνότερον
Ἀνδράσιν ἠδὲ γυναιξί. τί μοι πλοῦτός τε καὶ αἰδὼς
τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.
Ἄφρονες ἄνθρωποι καὶ νήπιοι οἵ τε θανόντας
κλαίουσιν οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.
Τέρπεό μοι φίλε θυμέ. τάχ' ἄν τινες ἄλλοι ἔσοιντο
Ἄνδρες. ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.
Κύρνε φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος
Συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
Νῦν μὲν τῷδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν,
κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.
Πρήγματος, ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
γνῶναι ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.
Ὄρφνη γὰρ τέταται. πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
Οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.
Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.
Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα
Ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.
Δῆμον δ' ἀξιοῖ πολλὰ φέρειν βαρύς, οὐ γὰρ ἐπίσῃ
τοῦθ' ἔρδειν ὅτι σοι μὴ καταθύμιον ᾖ.
Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ.
Ναίετε Εὐρώτα καλλιρόῳ ποταμῷ,
Εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι.
Εἰ δέ τι κῆνος ἐμοὶ δὶς τόσον αὐτὸς ἔχοι.
Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος.
Οὔτε γὰρ ἐχθαίρειν. οὔτε φιλεῖν δύναμαι.
Γιγνώσκω χαλεπὸν μὲν, ὅταν φίλος ἀνδρὶ γένηται

Ἐχθαί

Ἐχθαίρειν χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.
Σκέπτεο δὴ νῦν ἄλλον. ἐμοί γε μὲν οὔτις ἀνάγκη
Τοῦθ' ἔρδειν, τῶν μοι πρόσθε χάριν τίθεσο.
Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι, ὥς τι πετεινὸν,
Ἐκ λίμνης μεγάλης ἄνδρα κακὸν προφυγών.
Βρόχον ἀποῤῥήξας. σὺ δ' ἐμῆς φιλότητος ἁμαρτών.
Ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην,
Ὅστις σοι βούλευσεν ἐμεῦ πέρι, καὶ σ' ἐκέλευσεν
Οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.
Ὕβρις καὶ μάγνητας ἀπώλεσε καὶ κολοφῶνα,
Καὶ σμύρνην, πάντως κύρνε καὶ ὔμμας ὀλεῖ.
Εἰς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολύβδῳ
Χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ.
Οἴμοι, ἐγὼ δειλός, καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
Τοῖς δὲ φίλοισι πόνος δειλὰ παθὼν γενόμην,
Κύρν' οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρὶν
Νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν
Τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
Τιμῆς, μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
Ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
Οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν
Χρήματ' ἔχων πενίην μ' ὠνείδισας, ἀλλὰ τὰ μέν μοι
Ἔστι. τὰ δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενος,
Πλοῦτε θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων.
Σὺν σοὶ καὶ κακὸς ὢν γίγνομαι ἐσθλὸς ἀνήρ.
Ἥβης μέτρον ἔχοιμι. φιλεῖ δέ με φοῖβος ἀπόλλων
Λητοΐδης καὶ ζεὺς ἀθανάτων βασιλεύς,
Ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
Ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος,

Μή με

Μή με κακῶν μέμνηθε πέπονθά τοι οἷάτ' ὀδυσσεύς,
Ὅς τ' ἀΐδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδύς,
Ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ χαλκῷ
Πηνελόπης ἔμφρων κουριδίης ἀλόχου,
Ἥ μιν δήθ' ὑπέμεινε φίλῳ πρὸς παιδὶ μένουσα,
Ὄφρα τε γῆς ἐπέβη δειμαλέους τε μυχούς.
Εἰ πίομαι πενίης θυμοφθόρου οὐ μελεδαίνω.
Οὐδ' ἀνδρῶν ἐχθρῶν. οἵ με λέγουσι κακῶς.
Ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι ἥ μ' ἐπιλείπει,
Κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον,
Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαυσόμεν ἀρχήν,
Ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.
Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
Ἄλλοι δ' οὔλυμπον. ἐκπρολιπόντες ἔβαν.
Ὤχετο μὲν πίστις μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη χάριτές τ' ὦ φίλε γῆν ἔλιπον.
Ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
Οὐδὲ θεοὺς οὐδεὶς ἄζεται ἀθανάτους,
Εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
Οὐκέτι γινώσκουσ', οὐδὲ μὲν εὐσεβίας.
Ἀλλ' ὄφρά τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο
Εὐσεβέων περὶ θεοὺς ἐλπίδα προσμενέτω,
Εὐχέσθω δὲ θεοῖσι καὶ ἀγλαὰ μηρία καίων,
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
Φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
Οἳ θεῶν ἀθανάτων μηδὲν ὀπιζόμενοι
Αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
Αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.
Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,

Δειλῶν

Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.
Εἴη μοι πλουτοῦντι, κακῶν ἀπάτερθε μεριμνῶν
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.
Οὔτ' ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.
Ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
Ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.
Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον,
Αἰτοῦσι δ' ἀγαθοῖς ἀνδράσι Κύρνε δίδου,
Οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος, ἀλλ' ὁ μὲν ἐσθλὸς
τολμᾷ ἔχων τὸ κακὸν, οὐκ ἐπίδηλον ὅμως.
Δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσι
Θυμὸν ὁμῶς μίσγειν ἀθανάτων τε δόσεις
Παντοῖαι θνητοῖσιν ἐπέρχοντ' ἀλλ' ἐπιτολμᾶν,
χρὴ δῶρ' ἀθανάτων οἷα διδοῦσιν ἔχειν.
Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ ὦτα καὶ νόος ἀνδρῶν
Ἐν μέσσῳ στηθῶν ἐν συνετοῖς φύεται.
Τοῖς ἀγαθοῖς σύμμισγε. κακοῖσι δὲ μήποθ' ὁμάρτει,
Εὖτ' ἂν ὁδοῦ, τελέῃς τέρματα τ' ἐμπορίης.
Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα,
Τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.
Ἐκ κακεταιρείης κακὰ γίγνεται. εὖ δὲ καὶ αὐτὸς
Γνώσῃ, ἐπεὶ μεγάλους ἤλυθες ἀθανάτους,
Γνώμην Κύρνε θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην,
Ἀνθρώπου γνώμη πείρατα παντὸς ἔχει.
Ὦ μάκαρ ὅς τις δή μιν ἔχει φρεσίν ἦ πολὺ κρείσσων
Ὕβριος οὐλομένης, λευγαλέουτε κόρου.
Ἔστι κακὸν δὲ βροτοῖσι κόρος, τῶν οὔτι κάκιον,
Πᾶσα γὰρ ἐκ τούτων Κύρνε πέλει κακότης.

Εἴθ

Εἴθ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς, καὶ ἀεργὸς
Κύρνε. μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.
Κύρνε. θεοὺς αἰδοῦ, καὶ δείδιθι, τοῦτο γὰρ ἄνδρα
Εἴργει μήθ' ἔρδειν, μήτε λέγειν ἀσεβῆ,
Δημοφάγον δὲ τύραννον ὅπως ἐθέλεις κατακλῖναι,
Οὐ νέμεσις πρὸς θεῶν γίγνεται οὐδεμία.
Νοῦς ἀγαθὸς καὶ γλῶσσα ταῦτ' ἐν παύροισι πέφυκεν
Ἀνδράσιν οἳ τούτων ἀμφοτέρων ταμίαι,
Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρεῖαν
Δυστυχίαν, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.
Οὐδ' ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπει,
Θνητὸς ἀνὴρ δώροις βουλόμενος προφυγεῖν,
Οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
Τεθνεὼς, ἀλλά τί μοι ζῶντι γένοιτ' ἀγαθόν.
Ἀσπάλαθοι τάπησιν ὁμοῖον στρῶμα θανόντι,
Τὸ ξύλον ἢ σκληρὸν γίνεται ἢ μαλακόν.
Μή τι θεοὺς ἐπίορκον ἐπόμνυθι. οὐ γὰρ ἀνεκτὸν
Ἀθανάτους κρύψαι χρέος ὀφειλόμενον.
Ὄρνιθος φωνὴν πολυπαίδη ὀξὺ βοώσης
Ἤκουσ' ἥγε βροτοῖς ἄγγελος ἦλθ' ἀρότρου
Ὡραίου, καί μοι κραδίην ἐπάταξε μέλαιναν.
Ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς.
Οὐδέ μοι ἡμίονοι κύφων ἕλκουσιν ἀρότρου
Τῆς ἄλλης μνηστῆς εἵνεκα ναυτιλίης.
Οὐκ εἰμ' οὐδ' ὑπ' ἐμοῦ κικλήσεται οὐδ' ἐπὶ τύμβῳ
Οἱ μωχθεὶς ἐπὶ γῆν εἶσι τύραννος ἀνήρ.
Οὐδ' ἂν ἐκεῖνος ἐμοῦ τεθνηκότος οὔτ' ἀνιῷτο.
Οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα,
Οὔτε σε κωμάζειν ἀπερύκομαι οὔτε καλοῦμαι.

Ἀργαλέος γὰρ ἐὼν καὶ φίλος εὖτ' ἂν ἀπῇς.
Αἴθων μὲν γένος εἰμί. πόλιν δ' εὐτείχεα θήβην
Οἰκῶ, πατρῴας γῆς ἀπερυκόμενος.
Μήμ' ἀφελῶς παίζουσα, φίλους δ' ἔνναζε τοκῆας
Ἀργυρί. σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι.
Ἡμῖν δ' ἄλλα μέν ἐστι γύναι κακὰ πολλ' ἐπεὶ ἐκ γῆς
φεύγομεν. ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη
Οὔθ' ἡμᾶς περνᾶσι. πόλις δὲ μέν ἐστι καὶ ἡμῖν
καλὴ ληθαίῳ κεκλιμένη πεδίῳ.
Μή ποτε παρκλαίουσι καθεζόμενοι γελάσωμεν,
τοῖς αὐτῶν ἀγαθοῖς κύρν' ἐπιτερπόμενοι.
Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενῆ ἐξαπατῆσαι
Κύρνε. φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν.

Τέλος σὺν θεῷ τοῦ
Θεόγνιδος.



ΧΡΥΣΑ ΕΠΗ

ΤΟΥ ΠΥΘΑΓΟΡΟΥ.



Ἀθανάτους μὲν πρῶτα θεοὺς, νόμῳ ὡς διάκειται,
Τίμα, καὶ σέβου ὅρκον, ἔπειθ' ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβε δαίμονας ἔννομα ῥέζων.
Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.
Τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.
Πραέσι δ' εἶκε λόγοις, ἔργοισί τε ἐπωφελίμοισι.
Μὴ δ' ἔχθαιρε φίλον σὸν, ἁμαρτάδος εἵνεκα μικρῆς
Ὄφρα δύνῃ, δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι, κρατεῖν δ' εἰθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ, πρήξεις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ. πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἀσκεῖν ἔργῳ τε λόγῳ τε.
Μὴ δ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε.
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασιν,
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι,
Ὅσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,

ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε, μηδ' ἀγανάκτει.
ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ. ὧδε δὲ φράζευ,
οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε, καὶ ἐσθλοὶ
προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἂρ ἐάσῃς
εἴργεσθαι σαυτόν, ψεῦδος δ' ἤν περ τι λέγηται,
πράως ἴσχ'. ὃ δέ τοι ἐρέω ἐπὶ παντὶ τελείσθω.
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ.
πρῆξαι μηδ' εἰπεῖν, ὅτι τοι μὴ βέλτερόν ἐστι.
βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
πρῆσσε δὲ μηδὲν τῶν μὴ πίσασαι, ἀλλὰ δίδασκευ
ὅσσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.
οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή.
ἀλλὰ ποτοῦ τε, μέτρον, καὶ σίτου, γυμνασίων τε
ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει.
εἰθίζου δὲ δίαιταν ἔχειν, καθάρειον, ἄθρυπτον.
καὶ πεφύλαξό γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.
μὴ δαπανᾶν παρὰ καιρόν, ὁποῖα καλῶν ἀδαήμων,
μηδ' ἀνελεύθερος ἴσθι, μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψει. λόγισαι δὲ πρὸ ἔργου,
μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν.
πῆ παρέβην; τί δ' ἔρεξα, τί μοι δέον οὐκ ἐτελέσθη;
ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι, καὶ μετέπειτα,
δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο. χρηστὰ δὲ τέρπου,
ταῦτα πόνει, ταῦτ' ἐκμελέτα, τούτων χρὴ ἐρᾶν σε,
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.

Ναὶ μὰ

Ναὶ μὰ τὸν ἀμετέρα ψυχᾷ παραδόντα τετρακτὺν
Παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον,
Θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας,
Γνώσῃ ἀθανάτων δὲ θεῶν, θνητῶν τ' ἀνθρώπων
Σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται.
Γνώσῃ δ' ᾗ θέμις ἐστὶ φύσιν περὶ παντὸς ὁμοίην,
Ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν,
Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας,
Τλήμονες, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν,
Οὔτε κλύουσι. λύσιν δὲ κακῶν παῦροι συνίσασιν.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας. οἱ δὲ κυλίνδροις
Ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθεν
Σύμφυτος, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν,
Ζεῦ πάτερ ἢ πολλῶν τε κακῶν τε λύσειας ἅπαντας
Ἢ πᾶσιν δείξαις, οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει. ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω.
Ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις,
Ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν, ἔν τε καθαρμοῖς
Ἔν τε λύσει ψυχῆς κρίνων. καὶ φράζευ ἕκαστα.
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος θεὸς ἄμβροτος, οὐκ ἔτι θνητός.

Τέλος τῶν χρυσῶν ἐπῶν τοῦ
Πυθαγόρου.

ΣΤΙ'ΧΟΙ ἘΙΣ ΤΟ'Ν ΦΩΚΥΛΙ'ΔΗΝ.

Ὁ φωκυλίδης εὐπρεπῶς ζήσας βίον,
Ὡς χριστομύστης, ὡς ἀπόστολος μέγας,
Ὡς ἀκροατὴς τῶν θεοῦ θεσπισμάτων,
Καὶ μυσταγωγὸς τῶν ἀρίστων πρακτέων,
Εὐαγγελικῶς ταῦτα λαλεῖ καὶ γράφει,
Εὐχρηστα τυγχάνοντα τοῖς ἐν τῷ βίῳ.

Εἰς τὸν αὐτὸν ἕτεροι.

Ταῦτα δίκης ὁσίησι θεοῦ βουλεύματα φαίνει,
Φωκυλίδης ἀνδρῶν ὁ σοφώτατος ὄλβια δῶρα.



ΦΩΚΥΛΙΔΟΥ ΠΟΙΉΜΑ ΝΟΥΘΕΤΙΚΌΝ.



Μήτε γαμοκλοπέειν, μήτ᾽ ἄρσενα κύπριν ὀρίνειν,
Μήτε δόλους ῥάπτειν, μήθ᾽ αἵματι χεῖρα μιαίνειν,
Μὴ πλουτεῖν ἀδίκως, ἀλλ᾽ ἐξ ὁσίων βιοτεύειν.
Ἀρκεῖσθαι παρεοῦσι. καὶ ἀλλοτρίων ἀπέχεσθαι.
Ψεύδεα μὴ βάζειν, τὰ δ᾽ ἐτήτυμα πάντ᾽ ἀγορεύειν.
Πρῶτα θεὸν τίμα. μετέπειτα δὲ σεῖο γονῆας.
Πᾶσι δίκαια νέμειν, μὴ δὲ κρίσιν ἐς χάριν ἕλκειν.
Μὴ ῥίψῃς πενίην, ἀδίκως μὴ κρῖνε πρόσωπον.
Ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσει.
Μαρτυρίην ψευδῆ φεύγειν. τὰ δίκαι᾽ ἀγορεύειν,
Παρθενίην τηρεῖν, πίστιν δ᾽ ἐν πᾶσι φυλάσσειν.
Μέτρα νέμειν τὰ δίκαια, καλὸν δ᾽ ἐπὶ μέτρον ἅπασι,
Σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ᾽ ἴσον ἕλκειν,
Μήτ᾽ ἐπιορκήσῃς μήτ᾽ ἀγνῶς, μήτε ἑκοντί.
Ψευδορκον στυγέει θεὸς ἄβροτος, ὅστις ὀμόσσῃ.
Σπέρματα μὴ κλέπτειν, ἐπαράσιμος ὅστις ἀρεῖται.
Μισθὸν μοχθήσαντι δίδου. μὴ θλῖβε πένητα.
Γλώσσην οὖν ἐχέμεν. κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
Μήτ᾽ ἀδικεῖν ἐθέλῃς, μήτ᾽ οὖν ἀδικοῦντα ἐάσῃς,

Πτωχῷ δ' εὐθὺ δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπῃς.
Πληρώσας σέο χεῖρ' ἔλεον χρήζοντι παράσχου.
Ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
Ναυηγοὺς οἴκτειρον ἐπεὶ πλόος ἐστὶν ἄδηλος;
Χεῖρα πεσόντι δίδου, σῶσον δ' ἀπερίστατον ἄνδρα.
Κοινὰ πάθη πάντων, ὁ βίος τροχός, ἄστατος ὄλβος
Πλοῦτον ἔχων σὴν χεῖρα πενητεύουσιν ὄρεξον.
Ὧν σοι ἔδωκε θεὸς τούτων χρήζουσι παράσχου.
Ἔστω κοινὸς ἅπας ὁ βίος καὶ ὁμόφρονα πάντα.
Τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν,
Εἴθε δὲ μὴ χρήζοις, μήτ' ἔννομα, μή τε ἀδίκως,
Ἢν γὰρ ἀποκτείνῃς ἐχθρόν, σέο χεῖρα μιαίνεις,
Ἀγροῦ γειτονέοντος ἀπόσχεο μὴ δ' ἂρ ὑπερβῇς.
Πάντων μέτρον ἄριστον. ὑπερβασίαι δ' ἀλεγειναί,
Μὴ δέ τιν' αὐξόμενον καρπὸν λωβήσον ἀρούρης.
Ἔστωσαν ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις
Πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου.
Χώρης δ' οὔτι βέβαιον ἔχει πέδον ἀνθρώποισιν,
Ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
Χρυσὸς ἀεὶ δόλος ἐστί, καὶ ἄργυρος, ἀνθρώποισι.
Χρυσὲ κακῶν ἀρχηγὲ βιοφθόρε πάντα χαλέπτων.
Εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινὸν
Σοῦ γὰρ ἕκητι μάχαι τε λεηλασίαι τε φόνοι τε
Ἐχθρὰ δὲ τέκνα γονεῦσιν. ἀδελφοί τε συναίμοις,
Μὴ δ' ἕτερον κεύθῃς κραδίῃ νόον ἄλλ' ἀγορεύων
Μὴ δ' ὡς πετροφυὴς πολύπους κατὰ χῶρον ἀμείβου
Ὅστις ἑκὼν ἀδικεῖ. κακὸς ἀνήρ, ἀλλ' ὑπ' ἀνάγκης
Οὐκ ἐρέω τὸ τέλος, βουλὴν δ' εὔθυνε ἑκάστου
Μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ.

Εἷς θεὸς

Εἷς θεός ἐστι σοφὸς, δυνατὸς, ἅμα καὶ πολύολβος.
Μὴ δὲ παροιχομένοισι κακοῖς ξύχου τεὸν ἦτορ.
Οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ᾽ ἄγριον ὀργήν,
Πολλάκι γὰρ πλήξας, ἀέκων φόνον ἐξετέλεσας.
Ἔστω κοινὰ πάθη. μηδὲν μέγα, μήδ᾽ ὑπέροπλον.
Οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ.
Ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας,
Ὑψαυχεῖ δ᾽ ὁ πολὺς πλοῦτος καὶ ἐς ὕβριν ἀέξει.
Θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει,
Ὀργὴ δ᾽ ἐστὶν ὄρεξις. ὑπερβαίνουσα δ᾽ ἢ μῆνις.
Ζῆλος τῶν ἀγαθῶν ἐσθλὸς, φαύλων δ᾽ ὑποεργός.
Τόλμα κακῶν ὀλοὴ μέγ᾽ ὀφέλλει δ᾽ ἐσθλὰ πονεῦντας,
Σεμνὸς ἔρως ἀρετῆς. ὁ δὲ κύπριδος αἶσχος ὀφέλλει·
Ἡδὺς ἀγανόφρων κικλήσκεται ἐν πολιήταις.
Μέτρῳ μὲν φαγέειν, καὶ πιέειν, καὶ μυθολογεύειν.
Πάντων μέτρον ἄριστον. ὑπερβασίη δ᾽ ἀλεγεινή,
Μὴ φθονέοις ἀγαθῶν ἑτάροις. μὴ μῶμον ἀνάψῃς.
Ἄφθονοι οὐρανίδαι. καὶ ἐν ἀλλήλοις τελέθουσιν,
Οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς
Οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα,
Οὐ ποταμοὶ πελάγεσσιν, ἀεὶ δ᾽ ὁμόνοιαν ἔχουσιν,
Εἰ γὰρ ἔρις μακάρεσσιν ἔην οὐκ ἂν πόλος ἔστη.
Σωφροσύνην δ᾽ ἀσκεῖν. αἰσχρῶν δ᾽ ἔργων ἀπέχεσθαι,
Μὴ μιμοῦ κακότητα δίκῃ δ᾽ ἀπάλειψον ἄμυναν.
Πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ᾽ ἔριν ἀντιφυτεύει.
Μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει,
Νικᾶν εὖ ἔρδοντας ἐπεὶ πλεόνεσσι καθήκει,
Καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις

Ἢ πλείσαις

Ἢ πλείσαις δολίαισι βραδυνούσαις πρὸ καιρόν.
Μηδέ ποτε χρήσης πικρὸς γένῃ ἀνδρὶ πένητι,
Μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω.
Μητέρα δ' ἐκπρολίπῃς ἵν' ἔχῃς πάλι τῆσδε νεοττούς.
Μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς.
Τὴν σοφίην σοφὸς ἰθύνει. τέχνας δ' ὁμότεχνος.
Οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούειν.
Οὐ γὰρ δὴ νοέουσ' οἳ μηδέποτ' ἐσθλὰ μαθόντες.
Μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.
Πολλοὶ γὰρ πόσιος καὶ βρώσιος εἰσὶν ἑταῖροι.
Καιρὸν θωπεύοντες ἐπὴν κορέσασθαι ἔχωσιν.
Ἀχθόμενοι δ' ὀλίγοις καὶ πολλοῖς πάντες ἄπληστοι.
Λαῷ μὴ πίστευε, πολύτροπός ἐστιν ὅμιλος.
Λαὸς καὶ ὕδωρ καὶ πῦρ ἀκατάσχετα πάντα.
Μηδὲ μάτην ἐπὶ πυρὶ καθίσας μινύθῃς φίλον ἦτορ.
Μέτρα δὲ τεῦχε θεοῖσι. τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
Γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχεύτοις νεκύεσσι.
Μὴ τύμβον φθιμένων ἀνορύξῃς, μὴ δ' ἀθέατα
Δείξῃς ἠελίῳ καὶ δαιμόνιον χόλον ὄρσῃς.
Οὐ καλὸν ἁρμονίην ἀναλυέμεν ἀνθρώποιο.
Καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν.
Λείψαν' ἀποιχομένων, ὀπίσω δὲ θεοὶ τελέθονται.
Ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι.
Πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών.
Σῶμα γὰρ ἐκ γαίης ἔχομεν, καὶ πάντα πρὸς αὐτὴν
Λυόμενοι κόνις ἐσμὲν, ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
Πλούτου μὴ φείδου. μέμνησ' ὅτι θνητὸς ὑπάρχεις.
Οὐκ ἔν' ἐς ᾅδην ὄλβον ἔχειν, καὶ χρήματ' ἄγεσθαι.
Πάντες ἴσοι νέκυες. ψυχῶν δὲ θεὸς βασιλεύει.

Κοινὰ

Κοινὰ μέλαθρα δόμων, αἰώνια καὶ πατρὶς ᾅδης,
ξυνὸς χῶρος ἅπασι πένησί τε καὶ βασιλεῦσιν.
Οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον ἀλλ' ἐπὶ καιρόν.
ψυχὴ δ' ἀθάνατος, καὶ ἀγήρως, ζῇ διὰ παντός.
Μήτε κακοῖς ἄχθου. μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
Πολλάκις ἐν βιότῳ, καὶ θαρσαλέοισιν ἄπιστον,
Καιρῷ λατρεύειν. μὴ δ' ἀντιπνέειν ἀνέμοισι.
Πῆμα καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν ἄφνω.
Μὴ μεγαληγορίῃ τυφῶν, φρένα λυσσωθείης.
Εὐεπίην ἀσκεῖν, ἥ τις μάλα πάντας ὀνήσει.
Ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου,
Ὅπλον ἑκάστῳ νεῖμε θεὸς, φύσιν ἠεροφοίτοις.
Ὄρνισι μὲν πολλὴν ταχυτῆτ', ἀλκήν τε λέουσι,
Ταύροις δ' αὐτοχύτοις κεράεσσι. κέντρα μελίσσαις
Ἔμφυτον ἄλκαρ ἔδωκε, λόγον δ' ἔρυμ' ἀνθρώποισι,
Τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
Βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
Ἀγροὺς καὶ πόλιας σοφία. καὶ νῆα κυβερνᾷ.
Οὐχ ὅσιον κρύπτειν τὸν ἀθάσθαλον ἄνδρα ἄτιτον
Ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκῃ.
Πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες
Φωρῶν μὴ δέξῃ κλοπίμην ἀνδρῶν παραθήκην.
Ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας.
Μοῖραν πᾶσι νέμειν, ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.
Ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃς.
Μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕλκαι.
Κτῆνος δ' ἢν ἐχθροῖο πέσῃ, καθ' ὁδὸν, συνέγειρον.
Πλαζόμενόν τε βροτὸν καὶ ἀλίτροπον μήδ' ὑπαλύξῃς
Βέλτερον ἀντ' ἐχθροῦ τυχέειν φίλου εὐμενέοντος

Ἀρχόμενον

Ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι
Μὴ δέ τι θηριόβορον δαίσῃ κρέας, ἀργίποσιν δὲ
Λείψανα λεῖπε κυσί, θηρῶν ἄπο θῆρες ἔδονται.
Φάρμακα μὴ τεύχου, μαγικῶν βίβλων ἀπέχεσθαι.
Νηπιάχοις ἁπαλοῖς μὴ μάρψῃ χεῖρα βιαίως.
Φεῦγε διχοστασίην καὶ ἔριν πολέμου προσιόντος.
Μὴ κακὸν εὖ ἔρξῃς, σπείρειν ἴσον ἐσ' ἐνὶ πόντῳ,
Ἐργάζευ μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύσῃς.
Πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
Μὴ δ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης
Ἀλλ' ἀπὸ τῶν οἰκείων βιότων φάγοις ἀνύβριστος.
Εἰ δέ τις οὐ δεδάηκε τέχνην σκάπτοιτο δικέλλῃ.
Ἔστι βίῳ πᾶν ἔργον ἐπὰν μοχθεῖν ἐθέλῃσθα.
Ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα.
Εἰ δὲ γεωπονίην μεθέπειν, μακραί τοι ἄρουραι,
Οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
Οὐδ' αὐτοῖς μακάρεσσι. πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
Μύρμηκες γαίης μυχάτους προλελοιπότες οἴκους
Ἔρχονται, βιότοιο κεχρημένοι ὁπότ' ἄρουραι
Λήια κειράμεναι, καρπῶν πλήθουσιν ἀλωάς,
Οἱ δ' αὐτοὶ πυροῖο νεοτριβέος ἄχθος ἔχουσιν.
Ἢ κριθῶν, αἰεὶ δ' ὁ φέρων φορέοντα διώκει,
Ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες.
Ἄρκτον, φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
Κάμνει δ' ἠεροφοῖτος, ἀριστοπόνος τε μέλισσα.
Ἢ πέτρης κοίλης κατὰ χηραμὸν, ἢ δονάκεσσιν,
Ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σίμβλων
Σμήνεσι μυριότητα κατ' ἄνθεα κηροδομοῦσα.
Μὴ μείνῃς ἄγαμος, μή πως νώνυμος ὄλῃαι.

Δός τι

Δὸς τῇ φύσει καὐτός. τέκε δ' ἔμπαλιν ὡς ἐλοχεύθης.
Μὴ προαγωγεύσῃς ἄλοχον, σέο τέκνα μιαίνων,
Οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα,
Μητρυιῆς μὴ ψαῦε γε δεύτερα τέκνα γονῆος.
Μητέρα δ' ὡς τίμα τὴν μητέρος ἴχνια βᾶσαν,
Μὴ δὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν,
Μὴ δ' ἐπὶ παλλακίσι πατρὸς λεχέεσσι μιγείης.
Μὴ δὲ γυνὴ φθείρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρός,
Μὴ δὲ τεκοῦσα κυσὶ ῥίψῃ, καὶ γυψὶν ἕλωρα.
Μὴ δέ τις ἢ ἀλόχῳ ἐγκύμονι χεῖρα βάληται.
Μὴ δὲ παιδογόνον ποτὲ τέμνειν ἄρσενα κοῦρον.
Μὴ δ' ἀλόγοις ζώοις βατήριον εἰς λέχος ἐλθεῖν,
Μὴ δ' ὕβριζε γυναῖκα ἐπ' αἰσχυντοῖς λεχέεσσι.
Μὴ παραβῇς εὐνὰς φύσεως εἰς κύπριν ἄθεσμον.
Οὐδ' αὐτοῖς θήρεσσ' ἄρσην συνέβαδεν ἐς εὐνήν,
Μὴ δέ τι θηλύτεραι λέχος ἀνδρῶν μωμήσαιντο.
Μὴ δ' ἐς ἔρωτα γυναικῶν ἅπας ῥεύσῃς ἀκάθεκτον,
Οὐ γὰρ ἔρως θεός ἐστι. πάθος δ' ἀΐδηλον ἁπάντων,
Μὴ δὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
Στέργε τεὴν ἄλοχον. τί γὰρ ἥδυτερον καὶ ἄρειον,
Ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γῆρας ἄχρι.
Καὶ πόσις ᾗ ἀλόχῳ, μὴ δ' ἐμπέσῃ ἄνδιχα νεῖκος.
Μὴ δέ τις ἀμνήστευτα βίῃ κούρῃ μιγείη.
Μὴ δὲ γυναῖκα κακὴν σοῖσιν οἴκοισιν ἄγεσθαι,
Λατρεύεις δ' ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς.
Ἵππους δ' εὐγενέας δίζεσθαι μετὰ καὶ τ[illegible]ικον.
Ταύρους δ' ὑψιτένοντας, ἀτὰρ σκυλάκων παναγρίους,
Γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες,
Οὐ δὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα.

μὴ δὲ



ΚΕΦΑΛΑΙΑ

ΤΩΝ ΓΝΩΜΩΝ ΤΩΝ ΕΚ διαφόρων ποιητῶν κατὰ στοιχεῖον συντεταγμένων.

Ἰατροὺς

Κ

Καιρὸν
Κάλλος
Κέρδος
Κρίσιν καὶ θείαν δίκην
Κρύφια

Λ

Λιμόν
Λόγον
Λύπην

Μ

Μέθην
Μέλλον
Μετάνοιαν
Μετριότητα
Μητρυιὰν

Ν

Νεότητα
Νόμους

Ξ

Ξένους

Ο

Ὅρκον
Ὀργήν

Π

Παῖδας
Παιδείαν
Παραίνεσιν
Πενίαν
Πίστιν
Πλεονεξίαν
Πλοῦτον
Πολυπραγμοσύνην
Πονηρούς
Προσοχήν

Σ

Σιωπήν
Συνείδησιν

Τ

Τέχνην
Τιμήν
Τόλμαν
Τύχην

Υ

Ὕβριν
Ὑγίειαν
Ὑπερηφάνειαν
Ὕπνον
Ὑπομονήν

Φ

Φθόνον
Φίλους
Φιλοπονίαν
Φρόνησιν
Φύσιν

Χ

Χρόνον
Χρέος

Ψ

Ψεῦδος
Ψόγον
Ψυχήν

Τέλος.

ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ

ΕΚ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ,

Εἰς ἀγαθοὺς ἄνδρας.



Ἀνὴρ δὲ χρηστός, χρηστὸν οὐ μισεῖ ποτέ.
Γνώμης δ' ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.
Ἐσθλῷ δ' ἀνδρὶ ἐσθλὰ καὶ διδοῖ θεός.
Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.
Ἦθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.

Εἰς ἀλήθειαν.

Ἡ γλῶσσ' ἁμαρτάνουσα τἀληθῆ λέγει.

Εἰς ἁμαρτίαν.

Αἰσχρὸν δὲ μηδὲν πράττε, μηδὲ μάνθανε.
Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.
Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε.
Ὁ μηδὲν εἰδὼς οὐδὲν ἐξαμαρτάνει.

Εἰς ἀνάγκην.

Καὶ γὰρ δι' ἀνάγκης πάντα δουλοῦται ταχύ.
Καὶ γὰρ δι' ἀνάγκης πολλὰ ποιοῦμεν κακά.

Εἰς ἀρετήν.

Ἀνάπαυσίς ἐστι τῶν κακῶν ἀπραξία.
Ἃ μὴ προσήκει, μήτ' ἄκουε μήθ' ὅρα.
Βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν.
Εὔτακτον εἶναι τἀλλότρια δειπνοῦντα δεῖ.
Ἐλευθέρου γὰρ ἀνδρὸς τἀληθῆ λέγειν.
Ἐλεύθερον φύλασσε τὸν σαυτοῦ τρόπον.

Καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
Καρπὸς δ' ἀγαθός ἐστιν εὔτακτος βίος.
Λάβε πρόνοιαν τοῦ προσήκοντος βίου.
Μακάριος ὅστις μακαρίοις ὑπηρετεῖ.
Ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.
Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.
Ταμεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.
Τύχης ἐπιμελοῦ περὶ σεαυτοῦ καθὰ δύνῃ.

Εἰς ἀχαριστίαν.

Ἀχάριστος ὅστις εὖ παθὼν ἀμνημονεῖ.
Ἀεὶ δ' ὁ σωθεὶς, ἐστὶν ἀχάριστος φύσει.
Ἅμ' ἠλέκτη καὶ τέθνηκεν ἡ χάρις.
Ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ.
Καλὸν δὲ θησαύρισμα κειμένη χάρις.
Μετὰ τὴν δόσιν, τάχιστα γηράσκει χάρις.
Χάριν λαβὼν εὔκαιρον, ἐν καιρῷ δίδου.
Χάριν χαρίζου, καθ' ὅσον ἰσχύεις ὅμως.
Χάριτας δικαίας καὶ δίδου, καὶ λάμβανε.
Χάριν λαβὼν, μέμνησο, καὶ δοὺς, ἐπιλάθου.

Εἰς βασιλέα.

Ἀρχῆς τυχὼν, ἴσθι ταύτης ἄξιος.
Εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος θεοῦ.

Εἰς βίον.

Ἀμελοῦντα τοῦ ζῆν, οὐκ ἔνεστ' εὐσχημονεῖν.
Βίον μὲν οὐδεὶς ὃν προαιρεῖται βίον.
Βίος ἐστὶν, ἄν τις τῷ βίῳ χαίρῃ, βιῶν.
Βίος κέκληται δ' ὃς βίᾳ πορίζεται.
Βίος βίου δεόμενος οὐκ ἔστιν βίος.
Γῆ πάντα τίκτει καὶ πάλιν κομίζεται.
Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν ἀλλ' ὡς δυνάμεθα.

Οὐχ

Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον ἐν οὐδενί.
Τυφλὸν δὲ καὶ δύστηνον ἀνθρώποις βίος.
Τὸ ζῆν ἀλύπως, ἀνδρὸς ἐστὶν εὐτυχοῦς.
Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.

Εἰς βοήθειαν.

Ἀνὴρ γὰρ ἄνδρα καὶ πόλις σώζει πόλιν.
Χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον.

Εἰς βουλήν.

Ἀνὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ ἔχων.
Ἀβουλίᾳ γὰρ πολλὰ βλάπτονται βροτοί.
Ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
Βουλὴν ἢ παντὸς πράγματος προλάμβανε.
Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
Ἱερὸν ἀληθῶς ἐστὶν ἡ συμβουλία.
Σύμβουλος ἐσθλὸς μὴ κακὸς γίνου φίλοις.
Σοφοῦ παρ' ἀνδρὸς προσδέχου συμβουλίαν.
Σοφή, σοφῶν γὰρ γίνεται συμβουλία.
Σύμβουλος ἴσθι τῶν ἀγαθῶν μὴ τῶν κακῶν.

Εἰς γάμον.

Ἄλυπον ἕξεις τὸν βίον χωρὶς γάμων.
Γαμεῖν ὁ μέλλων εἰς μετάνοιαν ἔρχεται.
Γάμος γὰρ ἀνθρώποισιν εὐκτέον κακόν.
Γαμεῖν δὲ μέλλων, βλέψον εἰς τοὺς γείτονας.
Δαίμων σεαυτῷ πλουσίαν γήμας ἔσῃ.
Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Νόμιζε γήμας δοῦλος εἶναι τοῦ βίου.
Ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.
Ῥᾷον βίον ζῇς ἂν γυναῖκα μὴ τρέφῃς.
Ὡς ἐστὶ κακοδαίμων ὅστις ὢν πένης γαμεῖ.

Εἰς γέλωτα.

Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.
Γελᾷ δ' ὁ μωρὸς κἄν τι μὴ γελοῖον ᾖ.

Εἰς γῆρας.

Ἅπαντ' ἀφανίζει γῆρας ἰσχὺν σώματος.
Γήρως δὲ φαύλου τίς γένοιτ' ἀνατροπή.
Γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
Ἐφόδιον εἰς τὸ γῆρας αἰεὶ κατατίθου.
Ἥξει τὸ γῆρας πᾶσαν αἰτίαν φέρων.
Καλὸν τὸ γηρᾶν τὸ μὴ γηρᾶν πάλιν.
Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
Ὁ κληρὸς ἀνήρ ἐστιν ἐν νέοις γέρων.
Πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.
Φοβοῦ τὸ γῆρας οὐ γὰρ ἔρχεται μόνον.
Χαλεπὸν τὸ γῆράς ἐστιν ἀνθρώποις βάρος.

Εἰς γονεῖς.

Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν.
Γονεῖς τίμα καὶ φίλους εὐεργέτει.
Ἔλπιζε τιμῶν τοὺς γονεῖς πράξειν καλῶς.
Θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
Ἱκανῶς βιώσας γηροβοσκῶν τοὺς γονεῖς.
Νόμιζε σαυτοῦ τοὺς γονεῖς εἶναι θεούς.
Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

Εἰς γυναῖκα.

Βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή.
Γυναικὶ πάσῃ κόσμον ἡ σιγὴ φέρει.
Γυναικὸς ἐσθλῆς ἐστι σώζειν οἰκίαν.
Γυναικὶ κόσμος, ὁ τρόπος καὶ οὐ χρυσία.
Γυνὴ δικαία τοῦ βίου σωτηρία.
Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.

Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.
Γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
Γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον.
Γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται.
Γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.
Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
Γυνὴ γὰρ οἴκῳ πῆμα καὶ σωτηρία.
Γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.
Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.
Ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος μέγας.
Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
Ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
Ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους.
Θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
Θηρῶν ἁπάντων ἀγριωτέρα κακὴ γυνή.
Θάλασσα καὶ πῦρ καὶ γυνὴ κακὰ τρία.
Ἱστοὶ γυναικῶν ἔργα κ' οὐκ ἐκκλησίαι.
Ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
Ἴσον λεαίνης καὶ γυναικὸς ὠμότης.
Καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
Καλὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή.
Λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή.
Λέοντι συζῆν ἢ γυναικὶ συμβιοῦν.
Μέσον κακῶν πέφυκε φορτίον γυνή,
Νύμφη δ' ἄπροικος οὐκ ἔχει παρρησίαν.
Οὐδὲν γυναικὸς χεῖρον οὐδὲ τῆς καλῆς.
Πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκεν.
Ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.
Τερπνὸν κακὸν πέφυκεν ἀνδράσιν γυνή.
Ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.

Τ' πέρ γυναικὸς καὶ φίλου ποιεῖτέον.
Χαμαὶ κατ' οἴκους ἐσὶν ἀνδράσιν γυνή,
Ὡς ἔστ' ἄπιστον ἡ γυναίκεια φύσις.
Εἰς θῦμον.
Ἰσχυρὸν ὄχλος ἐσὶν, οὐκ ἔχει δὲ νοῦν.
Εἰς δίκαιον.
Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
Ἀνὴρ δίκαιος ἐσὶν οὐχ ὁ μὴ ἀδικῶν
Ἀλλ' ὅσις ἀδικεῖν δυνάμενος οὐ βούλεται.
Βάδιζε τὴν εὐθεῖαν ἣν δίκαιος ᾖς.
Βίου δικαίου γίγνεται τέλος καλόν.
Δίκαιος ἴσθ' ἵνα καὶ δικαίων δὴ τύχῃς
Δίκαιος εἶναι μᾶλλον ἢ χρηστὸς θέλε.
Δίκαια δράσας συμμάχου τεύξῃ θεοῦ.
Κρίνειν δίκαιον μὴ τὸ συμφέρον θέλε.
Πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
Τρόπος δίκαιος κτῆμα τιμιώτατον.
Εἰς δόξαν.
Ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν.
Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.
Κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον.
Εἰς δούλους.
Δούλου δὲ χεῖρον οὐδὲν οὐδὲ τοῦ καλοῦ.
Εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότης.
Λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν.
Ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.
Εἰς δυστυχίαν.
Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.
Ἐπ' ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν.

Ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυσυχεῖν.
Μὴ μέμβαινε δυσυχοῦντι, κοινὴ γὰρ τύχη.
Μηδέ ποτε σαυτὸν δυσυχῶν ἀπελπίσῃς.
Νόμιζε κοινὰ πάντα δυσυχήματα.
Οἴμοι, τὸ γὰρ ἄφνω δυσυχεῖν μανίαν ποιεῖ.
Τῶν δυσυχούντων εὐτυχὴς οὐδεὶς φίλος.

Εἰς ἐγκράτειαν.

Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
Ἡ κοιλία καὶ πολλὰ χωρεῖ κῴλιγα.

Εἰς ἐλπίδας.

Ἀνὴρ ἀτυχῶν δὲ, σώζεται ταῖς ἐλπίσιν.
Αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.
Ἔλπιζε πάντα μέχρι γήρως θνητὸς ὤν.

Εἰς ἔπαινον.

Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμια.
Φίλων ἔπαινον μᾶλλον ἢ σαυτοῦ λέγε.

Εἰς εὐγενῆ.

Ἀνὴρ ἄριστος οὐκ ἂν εἴη δυσγενής.

Εἰς εὐτυχίαν.

Δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
Κατ' ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.
Κοινὸν δὲ καλὸν ἐστὶ χρηστὸς εὐτυχῶν.
Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ.
Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
Τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
Ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

Εἰς εὐσέβειαν.

Θνητὸς πεφυκὼς μὴ φρονῆς ὑπέρθεα.

Θεὸν σέβου καὶ πάντα πράξεις ἐνδέως.
Ὑπὲρ εὐσεβείας, καὶ λάλει, καὶ μάνθανε.

Εἰς εὐχήν.

Εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός.

Εἰς ἐρῶντα.

Γέρων ἐραστὴς, ἐσχάτη κακὴ τύχη.

Εἰς ἔχθραν.

Ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν.
Ἐχθροὺς ἀμύνου μὴ ἐπὶ τῇ σῇ βλάβῃ.
Ἐχθροῖς ἀπιστῶν οὔ ποτ᾽ ἂν πάθοις βλάβην.
Λόγον παρ᾽ ἐχθροῦ, μή ποθ᾽ ἡγήσῃ φίλον.

Εἰς ζωήν.

Ζῆν βουλόμενος μὴ πράττε θανάτου ἄξια.
Ζῆν αἰσχρὸν οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.
Πάντες καλῶς ζῆν ἐθέλομεν ἀλλ᾽ οὐ δυνάμεθα.
Ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.

Εἰς ἡδονήν.

Ἡ γὰρ παράκαιρος ἡδονὴ τίκτει βλάβην.
Ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα.

Εἰς θάνατον.

Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
Ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.
Ἢ ζῆν ἀλύπως ἢ θανεῖν εὐδαιμόνως.
Θνητὸς πεφυκὼς, μὴ γέλα τεθνηκότα.
Καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν φέρει.
Κρεῖσσον τὸ μὴ ζῆν ἐστιν ἢ ζῆν ἀθλίως.
Ὃν γὰρ φιλεῖ θεὸς ἀποθνήσκει νέος.
Οὐ πώποτ᾽ ἐζήλωσα πολυτελῆ νεκρόν.
Τὸ γὰρ θανεῖν, οὐκ αἰσχρὸν ἀλλ᾽ αἰσχρῶς θανεῖν.

Εἰς θεόν.

Θεὸς συνεργῶν, πάντα ποιεῖ ῥαδίως.
Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.
Ὁ νοῦς γὰρ ἡμῖν ἐστιν ἑκάστῳ θεός.
Πάντη γάρ ἐστι πάντα τε βλέπει θεός.
Τὸ γοῦν τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.

Εἰς ἰατρούς.

Ἰατρὸς ἀδόλεσχος, νοσοῦντι πάλιν νόσος.
Πολλῶν ἰατρῶν εἴσοδός μ' ἀπώλεσεν.

Εἰς καιρόν.

Ἅπαντα καιρῷ χάριν ἔχει τυγχάνομενα.
Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
Καιρὸς γάρ ἐστι τῶν νόμων κρείττον πολύ.
Καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
Καιροῦ τυχὼν γοῦν πτωχὸς ἰσχύει μέγα.
Πολλῶν ὁ καιρὸς γίγνεται πραίτιος.
Πολλοὺς ὁ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
Τάχιστ' ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
Τὸν καιρὸν εὐχοῦ πάντοθ' ἵλεων ἔχειν.
Ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.
Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.

Εἰς κάλλος.

Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
Ὡς οὐδὲν κάλλος ὅταν ἔχῃ νοῦν σώφρονα.

Εἰς κέρδος.

Βίον πορίζου πανταχόθεν, πλὴν ἐκ κακῶν.
Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
Βέλτιστε μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
Ζήτει συνάγειν ἐκ δικαίων τὸν βίον.
Ἦθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν.
Κέρδος πονηρὸν, μὴ λαβεῖν βούλου ποτέ.

Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
Τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.
Τὸ κέρδος ἡγοῦ κέρδος ἂν δίκαιον ᾖ.
Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

Εἰς κρίσιν καὶ εἰς τὴν θείαν δίκην.

Κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ.
Ἀνεξέταστον μὴ κόλαζε μηδένα.
Ἄγει δὲ θεὸν τοὺς κακοὺς πρὸς τὴν δίκην.
Ἔστιν δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ.
Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
Λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν.
Ὀξὺς θεοῦ δ' ὀφθαλμὸς εἰς τὸ πάνθ' ὁρᾶν.

Εἰς κρύφια.

Ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.
Ἢ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει.
Ὑπόνοια δεινὸν ἐστὶν ἀνθρώποις κακόν.

Εἰς λιμόν.

Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.
Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.
Πολλῶν ὁ λιμὸς γίγνεται διδάσκαλος.

Εἰς λόγον.

Ὑχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου,
Λόγος γάρ ἐστι λύπης φάρμακον μόνος.
Λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ.
Χωρὶς τότ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια.
Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Λόγοις ἀμείβου τοὺς λόγοις πείθοντά σε.
Λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος.
Λόγῳ διοικεῖται βροτῶν βίος μόνῳ.
Μέγιστόν ἐστιν ὀργῆς φάρμακον λόγος

Ο λόγος ἰατρός ἐστι τοῦ κατὰ ψυχὴν πάθους.
Ρῆμα παρὰ καιρὸν ῥηθὲν ἀνατρέπει βίον.
Ρίψας λόγον τις, οὐκ ἀναιρεῖται πάλιν.
Ψυχῆς νοσούσης, ἐστὶ φάρμακον λόγος.

Εἰς λύπην.

Ἀεὶ δὲ λυποῦν ἐκδίωκε τοῦ βίου.
Ἀεὶ ἐστὶ συγγενές τι λύπη καὶ βίος.
Βιοῦν ἀλύπως θνητὸν ὄντ' οὐ ῥᾴδιον.
Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.
Πλοίου λιμὴν μὲν ἀλυπία δ' ὅρμος βίου.
Οὐκ ἐστὶ λύπης χεῖρον ἀνθρώποις κακόν.
Τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.

Εἰς μέθην.

Καλὸν τὸ νήφειν ἢ τὸ πολλὰ κραιπαλᾶν.
Ο πολὺς ἄκρατος, μίκρ' ἀναγκάζει φρονεῖν.

Εἰς τὸ μέλλον.

Θνητὸς πεφυκώς, τοὐπίσω πρόσω βλέπειν.
Μένει δ' ἑκάστῳ τοῦθ' ὅπερ μέλλει παθεῖν.
Μή μοι γένοιθ' ἃ βούλομ', ἀλλὰ συμφέρει.
Οὐδεὶς δὲ μέλλον ἀσφαλῶς βουλεύεται.

Εἰς μετάνοιαν.

Η δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.

Εἰς μετριότητα.

Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.
Βούλου δ' ἀρέσκειν πᾶσι μὴ σαυτῷ μόνον.
Εἰ θνητὸς εἶ βέλτιστε θνητὰ καὶ φρόνει.
Ἐν δ' εὐπροσηγόροισιν ἐστί τις χάρις.
Ἴσος μὲν ἴσθι πᾶσι κἂν προὔχῃς βίῳ.
Σωτηρίας σημεῖον, ἥμερος τρόπος.
Τὸ γνῶθι σαυτὸν πανταχοῦ ἐστι χρήσιμον.

Εἰς μικροψυχίαν.

Δεινότερον οὐδὲν ἄλλο μικροψυχίας κακόν.

Εἰς νεότητα.

Ἀκμὴ τοσοῦτον οὐδὲν ἄνθους διαφέρει.
Μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ.
Νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.
Νέῳ δὲ σιγᾶν μᾶλλον ἢ λαλεῖν πρέπει.
Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.

Εἰς νόμους.

Ἰσχυρὸν ὁ νόμος ἐστὶν, ἢν ἄρχοντ᾽ ἔχῃ.
Νόμῳ τὰ πάντα γίγνεται, καὶ κρίνεται.
Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.
Βίας παρούσης οὐδὲν ἰσχύει νόμος.
Ῥήτωρ πονηρὸς τοῖς νόμοις λυμαίνεται.

Εἰς ξένους.

Ξένους πένητας μὴ παραδράμῃς ἰδών.
Ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ.
Ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει.
Ξένοισι πιστοῖς, πιστὸς ὢν γίγνου φίλος.
Ξένον ἀδικήσῃς μηδέποτε καιρὸν λαβών.
Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν,
Ξένος ὢν ἀπράγμων ἴσθι καὶ πράξεις καλῶς.
Ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
Ξένον δὲ, σιγᾶν κρεῖττον ἢ κεκραγέναι.
Ξένος πεφυκὼς, τοὺς ξενοδόχους σέβου.
Ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ᾽ ἔσῃ.
Πλάνη βίον τίθησι σωφρονέστερον.

Εἰς ὅρκον.

Ἀνδρῶν δὲ φαύλων ὅρκον, εἰς ὕδωρ γράφε.
Θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.

Ὅρκον

Ὄγκον δὲ φεῦγε κἂν δικαίως ὀμνύῃς.

Εἰς ὀργήν.

Ἄνθρωπος ὢν, γίνωσκε τῆς ὀργῆς κρατεῖν.
Γίνου δ᾽ ἐς ὀργὴν μὴ ταχὺς, ἀλλὰ βραδύς.
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
Ζήσεις βίον κράτιστον ἂν θυμοῦ κρατῇς.
Θυμοῦ κρατῆσαι κἀπιθυμίας, καλόν.
Νίκησον ὀργὴν, τῷ λογίζεσθαι καλῶς.
Ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
Οὐδεὶς μετ᾽ ὀργῆς ἀσφαλῶς βουλεύεται.
Ὀργὴ φιλούντων μικρὸν ἰσχύει χρόνον.
Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
Φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.

Εἰς παῖδας.

Ἀνθαίρετος λύπη ᾽στὶν ἡ τέκνων σπορά.
Μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν.
Μακάριος ὅστις εὐτύχησεν εἰς τέκνα.
Στῦλος γὰρ οἴκου, παῖδές εἰσιν ἄρσενες.
Φιλίας μέγιστος δεσμὸς, αἱ τέκνων γοναί.

Εἰς παιδείαν.

Ἀναφαίρετον κτῆμ᾽ ἐστὶ παιδεία βροτοῖς.
Ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
Βραβεῖον ἀρετῆς ἐστὶν εὐπαιδευσία.
Βλέπων πεπαίδευμ᾽ εἰς τὰ τῶν ἄλλων κακά.
Γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα, νοῦν ἔχειν.
Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.
Βακτηρία γάρ ἐστι παιδεία βίου.
Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
Κἀν τοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.

Τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
Ο γράμματ' εἰδὼς καὶ περισσὸν νοῦν ἔχει.
Ο σοφὸς ἐν αὐτῷ περιφέρει τὴν οὐσίαν.
Ο μὴ δαρεὶς ἄνθρωπος, οὐ παιδεύεται.
Ο γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.
Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
Σοφοῖς ὁμιλῶν, κ᾽αὐτὸς ἐκβήσῃ σοφός.
Σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς.
Σοφῷ παρ᾽ ἀνδρὶ πρῶτον εὑρέθη λόγος.
Σοφὸς γὰρ οὐδεὶς ὃς τὰ πάντα προσκόπτει.
Σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
Σοφοῦ παρ᾽ ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.
Ος οὐδὲν ἡ μάθησις ἂν μὴ νοῦς παρῇ.

Εἰς παραίνεσιν.

Απαντες ἐσμὲν εἰς τὸ νουθετεῖν σοφοί.
Αὐτοὶ δ᾽ ἁμαρτάνοντες οὐ γιγνώσκομεν.

Εἰς πενίαν.

Πενία δ᾽ ἀγνώμονάς γε τοὺς πολλοὺς ποιεῖ.
Καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς.
Λεπτῶς καλῶς ζῆν κρεῖσσον, ἢ λαμπρῶς κακῶς.
Μισῶ πένητα πλουσίῳ δωρούμενον.
Πενίαν φέρειν, οὐ παντὸς ἀλλ᾽ ἀνδρὸς σοφοῦ.
Πένητας ἀργοὺς οὐ τρέφει ῥαθυμία.
Πενία δ᾽ ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
Πενίαν φέρειν, καὶ γῆρας ἐστὶ δύσκολον.
Οὐδὲν πενίας βαρύτερόν ἐστι φορτίον.
Τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.

Εἰς πίστιν.

Μὴ πάντα πρῶτα πᾶσι πιστεύειν ἀεί.

Εἰς πλεονεξίαν.

Ἰσότητα δ' αἰροῦ, πλεονεξίαν φύγε.
Κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.

Εἰς πλοῦτον.

Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
Δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα.
Ἐὰν δ' ἔχωμεν χρήματ', ἕξομεν φίλους.
Ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν.
Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺ πένης γένῃ.
Πλούτῳ πεποιθὼς ἄδικα μὴ πρᾶσσε ποιεῖν.
Ῥᾴθυμος ὢν σὺ πλούσιος, πένης ἔσῃ.
Οὐδεὶς ἐπλούτησε ταχέως δίκαιος ὤν.
Χρυσὸς δ' ἀνοίγει πάντα κἀΐδου πύλας.

Εἰς πολυπραγμοσύνην.

Πολυπραγμονεῖν τἀλλότρια μὴ βούλου κακά.
Πολλοὶ χολὴν ἄγουσιν εἰς τὰ χείρονα.
Τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρόν.
Τὸ πολλὰ πράττειν, καὶ λύπας πολλὰς ἔχει.

Εἰς πονηρούς.

Ἀνὴρ πονηρὸς δυστυχεῖ κἂν εὐτυχῇ.
Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί.
Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
Ἀνουθέτητόν ἐστιν ἡ πονηρία.
Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
Δύσμορφος εἰκὴν μᾶλλον ἢ καλὸς κακός.
Τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον.
Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
Ἤδη πονηρὰ τὴν φύσιν διαστρέφει.
Θεοῦ δ' ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.

βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.

Εἰς τέχνην.

Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
Τύχη τέχνην εὕρηκας, οὐ τέχνη τύχην.

Εἰς τιμήν.

Τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.

Εἰς τόλμαν.

Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.
Ἔστι τὸ τολμᾶν ὦ φίλ᾽ ἀνδρὸς οὐ σοφοῦ.
Προπέτεια πολλοῖς ἐστὶν αἰτία κακῶν.
Τὸ πολλὰ τολμᾶν, πολλ᾽ ἁμαρτάνειν ποιεῖ.

Εἰς τύχην.

Ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης.
Βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.
Δοὺς τῇ τύχῃ τὸ μικρὸν, ἐκλήψῃ μέγα.
Δυσπαρακολούθητον δὲ πρᾶγμ᾽ ἐσθ᾽ ἡ τύχη.
Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
Οἷς μὲν δίδωσιν οἷς δ᾽ ἀφαιρεῖται τύχη.
Πολλοὺς κακῶς πράσσοντας, ὤρθωσεν τύχη.
Πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.
Ῥέγχει παρούσης τῆς τύχης τὰ πράγματα.
Στρέφει δὲ πάντα τἀν βίῳ μικρὰ τύχη.
Τύχη τὰ θνητὰ πράγματ᾽ οὐκ εὐβουλία.
Ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
Τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.
Χειμὼν μεταβάλλει ῥαδίως εἰς εὐδίαν.
Ὡς ποικίλον πρᾶγμ᾽ ἐστὶ καὶ πλάνον τύχη.

Εἰς ὕβριν.

Δύσμοιρος ἴσθι μᾶλλον ἢ κακηγόρος.
Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.

Οὐδὲν

Οὐδὲν πέπονθας δεινὸν ἂν μὴ προσποιῇ.

Εἰς ὑγείαν.

Οὐκ ἔσθ' ὑγείας κρεῖττον οὐδὲν ἐν βίῳ.
Ὑγεία καὶ νοῦς, ἐσθλὰ τῷ βίῳ δύο.

Εἰς ὑπερηφανίαν.

Ἀλαζονείας οὔτις ἐκφεύγει δίκην.
Ὅτ' εὐτυχεῖς μάλιστα μὴ μέγα φρόνει.

Εἰς ὕπνον.

Ὕπνος θανάτου προμελέτησις πέλει.
Ὕπνος δὲ πᾶσίν ἐστιν ὑγεία βίου.
Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
Ὕπνος πέφυκε σώματος σωτηρία.
Ὕπνος ἢ πεῖναν τὴν κακέχαρτην δαμᾷ.

Εἰς ὑπομονήν.

Ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.
Ἔνεγκε λύπην καὶ βλάβην ἐρρωμένως.
Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
Νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.
Πειρῶ τύχης ἄγνοιαν εὐχερῶς φέρειν,
Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν.
Στερρῶς φέρειν χρὴ συμφορὰν τὸν εὐγενῆ,
Τὴν τῶν κρατοάυτων μάθε φέρειν ἐξουσίαν.
Φρονοῦντός ἐστι ζημίαν ῥᾷον φέρειν.
Φέρειν ἀνάγκη θνητὸν ὄντα τὴν τύχην.

Εἰς φθόνον.

Αὐτὸς πενωθεὶς τοῖς ἔχουσι μὴ φθόνει.

Εἰς φίλους.

Ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.
Ἅπασιν εὖ πράττουσιν ἥδομαι φίλοις.
Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

βέβαιος

Βέβαιος ἴσθι καὶ βεβαίως χρῶ φίλοις.
Δεῖ τοὺς φιλοῦντας, πίστιν, οὐ λόγους ἔχειν.
Ἐν τοῖς δὲ δεινοῖς, χρημάτων κρείττων φίλος.
Εὔχου δ' ἔχειν τι κἂν ἔχῃς. ἕξεις φίλους.
Ἐν τοῖς κακοῖς δὲ τοὺς φίλους εὐεργέτει.
Ἴσον θεῷ σου τοὺς φίλους τιμᾶν θέλε.
Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
Κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ.
Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
Καλὸν θέαμα δ' ἐστὶν εὖ πράττων φίλος.
Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.
Μισοῦντα μίσει καὶ φιλοῦντ' ὑπερφίλει.
Λίαν φιλῶν ἑαυτὸν. οὐκ ἕξεις φίλον.
Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.
Μακάριος ὅστις ἔτυχε γενναίου φίλου.
Μηδέ ποτε πειρῶ δύο φίλων εἶναι κριτής.
Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.
Οὐκ ἔστιν οὐδείς, ὅστις οὐχ αὑτὸν φιλεῖ.
Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ φάνῃς φίλου.
Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
Πειρῶ φίλοισι μὴ κακὸς εἶναι φίλος.
Πολλοὶ τραπέζης οὐκ ἀληθείας φίλοι.
Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
Φίλον δι' ὀργὴν ἐν κακοῖς μὴ παρίδῃς.
Φίλος φίλῳ γὰρ συμπονῶν αὑτῷ πονεῖ.
Φίλου τρόπους γίνωσκε, μισήσεις δὲ μή.
Φίλους με βλάπτων οὐδὲν ἐχθροῦ διαφέρει.
Φίλους ἔχων, νόμιζε θησαυροὺς ἔχειν.
Φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.
Φιλίας δικαίας κτῆσις ἀσφαλεστάτη.

φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.

Εἰς φιλοπονίαν.

Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
Ἐν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
Φιλόπονος ἴσθι καὶ βίον κτήσῃ καλόν.
Ὡς ἡδὺ τοῖς σοφοῖσι μεμνῆσθαι πόνων.
Ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά.
Αὐτάς σε διδάσκει τῷ βίῳ τὰ πράγματα.

Εἰς φρόνησιν.

Ἀγαθὸν μέγιστον ἡ φρόνησις ἐστ' ἀεί.
Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Ἄριστόν ἐστι πάντ' ἐπίστασθαι καλά.
Ἂν εὖ φρονῇς τὰ πάντα γ' εὐδαίμων ἔσῃ.
Ἀεὶ κράτιστόν ἐστι τἀσφαλέστατον.
Ἔνιοι κακῶς φρονοῦσι πράσσοντες καλῶς.
Ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.
Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.
Ἡδύ γε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.
Ἥδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν.
Μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός.
Νοεῖν γάρ ἐστι κρεῖττον ἢ σιγὴν ἔχειν.
Συνετὸς πεφυκὼς φεῦγε τὴν κακουργίαν.
Ὁ παρ' ἡλικίαν νοῦς, μῖσος ἐξεργάζεται.
Οὐδεὶς ὃ νοεῖς οἶδεν, ὃ δὲ ποιεῖς βλέπει.
Οὐ πανταχῇ δ' ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.
Τὸ μηδὲν εἰκῇ, πανταχοῦ ἐστι χρήσιμον.
Τύχης μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.
Ὡς οὐδὲν ἡ μάθησις ἢν μὴ νοῦς παρῇ.

Εἰς φύσιν.

ἡ δοῦσα

Ἡ δ᾽ οὖσα πάντα καὶ κομίζεται φύσις.
Ἡ φύσις ἑκάστου γὰρ γένους ἐστὶν πατρίς.
Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον.

Εἰς χρόνον.

Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
Πάντ᾽ ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει.
Σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
Χρόνῳ τὰ πάντα γίνεται καὶ κρίνεται.
Χρόνος δίκαιον ἄνδρα δεικνύει μόνος.
Χρόνος δ᾽ ἀναιρεῖ πάντα καὶ λήθην ἄγει.

Εἰς χρέος.

Λαβὼν ἀπόδος ἄνθρωπε καὶ λήψῃ πάλιν.
Τὰ δάνεια, δούλους τοὺς ἐλευθέρους ποιεῖ.

Εἰς ψεῦδος.

Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
Ψεύδους διαβολὴ τὸν βίον λυμαίνεται.
Ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.

Εἰς ψόγον.

Ἦθους δικαίου φαῦλος οὐ ψαύει λόγος.
Νικᾷ γὰρ αἰεὶ διαβολὴ τὰ κρείττονα.
Τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν ἀνδρὸς κακοῦ.

Εἰς ψυχήν.

Ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.

Τέλος τῶν γνωμῶν.

Ἐτυπώθη ἐν διασημοτάτῃ τῶν ῥαυρακῶν βασιλείᾳ, παρὰ Ἰοάννῃ τῷ φροβενίῳ, μηνὶ θαργηλιῶνι, ἔτει ἀπὸ τῆς τοῦ χριστοῦ γεννήσεως χιλιοστῷ, πεντακοσιοστῷ, εἰκοστῷ πρώτῳ.





